74. Ἄλλη μέλαινα [5]νοῦσος· [6]ὑπόπυῤῥος καὶ ἰσχνὸς καὶ τοὺς ὀφθαλμοὺς ὑπόχλωρος γίνεται, καὶ λεπτόδερμος καὶ ἀσθενὴς τελέθει· ὅσῳ δ' ἂν χρόνος πλείων ᾖ, ἡ νοῦσος μᾶλλον πονέει· καὶ ἐμέει πᾶσαν ὥρην οἷον σταλαγμὸν ὀλίγον κατὰ δύο βρόχθους, καὶ [7]τὸ σιτίον θαμινὰ, καὶ σὺν τῷ σιτίῳ χολὴν καὶ φλέγμα, καὶ μετὰ τὴν ἔμεσιν ἀλγέει τὸ σῶμα πᾶν, ἔστι δ' ὅτε καὶ πρὶν ἐμέσαι· καὶ φρῖκαι λεπταὶ καὶ πυρετὸς ἴσχει, καὶ πρὸς τὰ γλυκέα καὶ ἐλαιώδεα μάλιστα ἐμέει. Τοῦτον καθαίρειν χρὴ φαρμάκοισι [8]καὶ κάτω καὶ ἄνω, καὶ μεταπιπίσκειν γάλα ὄνου, καὶ σιτίοισι χρῆσθαι ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσιν, ἰχθύσιν ἀκταίοισι καὶ σελάχεσι καὶ τεύτλοισι καὶ κολοκύντῃσι καὶ κρέασι τετριμμένοισιν, οἶνον δὲ πίνειν λευκὸν οἰνώδεα ὑδαρέστερον· ταλαιπωρίῃ δὲ [9]ἐν περιπάτοισι χρῆσθαι, καὶ μὴ θερμολουτέειν, καὶ τοῦ ἡλίου ἀπέχεσθαι. Ταῦτα ποιέειν, ἡ δὲ νοῦσος θανατώδης μὲν οὔ, ξυγκαταγηράσκει δὲ.

[1] Ἀσθενήσῃ θ. – δ' EHK. – κοιλία, al. manu η E. – ὑποχωρίη (sic) E. – θωρίξιων Lind. – θοριξίων EI. – καθοριξίων pro καὶ θορ. J. — [2] λαγνεύει J. – πουλλὰ G, Ald., Frob. – περιπατεῖν GIJ. – ἁλικὰ K. — [3] ποιέων θ. — [4] καὶ om. (H, restit. al. manu) θ. – νοῦσος εἰ (εἰ om. Ald.) καὶ (εἰ καὶ om., H restit. al. manu, θ) καταγηράσκει vulg. – ἐν pro σὺν θ. – ἢν δὲ (addit μὴ H) μελανθῇ vulg. – Il faut prendre μὴ donné par H, et lire μελεδανθῇ au lieu de μελανθῇ, faute dont il y a des exemples. — [5] ν. om. (H, restit. al. manu) θ. — [6] ὑπόπυρρος θ, Foes in not., Mack. – ὑπόπυρος vulg. – βρόγχθους I. — [7] τὸ om. J. – ἐλαιώδεα EHIJK. – ἐλαιώδη vulg. — [8] καὶ om. θ. – μεταπίσκειν (sic) Ald. – καὶ (καὶ om. EFGHIJKθ, Ald.) ἰχθύσιν vulg. – ἀκταίοις θ. – κολοκύντοισι GIJ. – κολοκύντη, al. manu κολοκύντοισι H. – τετρυμμένοισι

leur aux côtés, fièvre sourde, céphalalgie; les yeux ne voient pas; les jambes sont pesantes; la couleur est noire; et le malade maigrit. Dans ce cas, il prendra souvent un évacuant, du petit-lait et du lait dans la saison, il s'abstiendra des aliments doux, huileux et gras; il les prendra très-froids et très-relâchants. On purgera la tête; après les évacuations par le haut, on tirera du sang des bras, s'il n'est pas faible. Le ventre n'est-il pas libre? on prescrira un clystère émollient. Le malade s'abstiendra d'excès de vin et du coït. S'il use du coït, il prendra à jeun un bain de vapeur. Il se gardera du soleil, fera peu de gymnastique, ne se promènera pas, ne prendra pas de bains chauds et ne mangera rien d'âcre et de salé. Par ces moyens, et avec l'âge, le malade se sauve, et la maladie vieillit avec le corps; mais, si elle n'est pas soignée, elle abrége la vie.

74. (*Autre maladie noire.*) Autre maladie noire : le malade prend une teinte rougeâtre, il maigrit; ses yeux sont jaunâtres; la peau devient mince, et il s'affaiblit. Plus le temps passe, plus la maladie s'aggrave. Il vomit à tout moment quelques gouttes en deux gorgées; il vomit les aliments souvent, et, avec les aliments, de la bile et du phlegme. Après le vomissement il souffre dans tout le corps, et parfois même avant de vomir. Il a des frissons légers et de la fièvre. Ce qui le fait surtout vomir, ce sont les substances douces et huileuses. En ce cas, on évacuera par le bas et par le haut; après on prescrira le lait d'ânesse. Il usera d'aliments très-émollients et froids, poissons de rivage, poissons cartilagineux, bettes, courges, viandes hachées. Il boira du vin blanc généreux, assez coupé. Son genre d'exercice sera la promenade. Il ne prendra pas de bain chaud et se gardera du soleil. Voilà ce qu'il faut faire. La maladie n'est pas mortelle, mais elle suit jusque dans la vieillesse.

E (H, al. manu ι), Frob. – τετριμένοισι J. — ἐν om., restit. al. manu H. – οὐ (E, al. manu οὐ) HJK, Ald. – ξυγκαταγηράσκοι, al. manu ει H.

75. Σφακελώδης· [1]τὰ ἄλλα μὲν τὰ αὐτὰ πάσχει, ἐμέει δὲ θρόμβους πεπηγότας χολῆς καὶ κάτω ὁμοίως, ἐπὴν τὰ σιτία ἀποπατήσῃ. Δρᾷν δὲ χρὴ τὰ αὐτὰ ἅπερ ἐπὶ τῆς προτέρης [2]ἐλέχθη, καὶ ὑποκλύζειν.

[1] Τὰ μὲν ἄλλα FHILθ. – ταῦτα θ. — [2] ἐλέχθη om. (H, restit. al. manu) θ.

78. (*Autre maladie noire; remarquez ici* sphacélique *employé dans un sens tout particulier, et comparez pour un emploi également particulier du mot* sphacèle, *le* § 5 *du* Deuxième livre des Maladies.) Maladie sphacélique : le malade éprouve les mêmes accidents que dans le cas précédent; mais il vomit des grumeaux coagulés de bile; il en rend aussi par le bas quand il va à la selle. On fera comme il a été dit plus haut, et on prescrira des lavements.

FIN DU DEUXIÈME LIVRE DES MALADIES.

ΠΕΡΙ ΝΟΥΣΩΝ ΤΟ ΤΡΙΤΟΝ.

DES MALADIES. LIVRE TROISIÈME.

ARGUMENT.

Quoique ce *Troisième livre des maladies* commence par : *J'ai parlé de toutes les fièvres, je vais maintenant parler du reste*, cependant ce n'est pas la suite du *Deuxième livre*, où il n'est pas traité des fièvres spécialement; seulement cela indique que nous n'avons là qu'un fragment, et qu'il nous manque un traité dont les fièvres faisaient le sujet.

Ce *Troisième livre* est, jusqu'à un certain point, une autre rédaction du *Deuxième livre* des maladies. Les modes de traitement sont identiques; les mêmes expressions se retrouvent des deux côtés; plusieurs maladies sont décrites dans le *Troisième* presque avec les mêmes termes que dans le *Deuxième;* et, comme il y a dans le *Deuxième* des parties qui figurent deux fois dans ce même *Deuxième*, on voit qu'on a, de certaines parties, jusqu'à trois rédactions. Ce sont des remaniements appartenant, non pas sans doute au même auteur, mais ou à des disciples de la même école ou à des gens à peu près contemporains; conclusion à laquelle on arrive toujours de quelque côté que l'on examine la Collection hippocratique. C'est ainsi que des parties étaient communes entre le livre des *Sentences cnidiennes*, attribué à Euryphon, et le *Deuxième livre des Maladies*, § 68. On verra dans l'*Argument* du traité de la *Nature de la Femme* que les parties communes n'étaient pas bornées à ce paragraphe.

BIBLIOGRAPHIE.

MANUSCRITS.

2255 = E, 2144 = F, 2141 = G, 2142 = H, 2140 = I, 2143 = J, 2145 = K, Cod. Serv. ap. Foes = L, 2332 = X, 2148 = Z, Imp. Corn. ap. Mack = K′, Imp. Samb. ap. Mack = P′, Cod. Fevr. ap. Foes = Q′, Cod. Vindob. = θ[1].

ÉDITIONS, TRADUCTIONS ET COMMENTAIRES.

Voyez pour cela la bibliographie, t. VI, p. 439[2].

[1] Je n'ai eu pour ce livre que la collation de Mack. — [2] Ajoutez à la bibliographie du *Deuxième livre des Maladies :* Melænæ hippocraticæ genuinæ imago, indoles et diagnosis speciallor; dissertatio inauguralis medica J. Lichtschlag; Bonnæ, 1828, in-4°.

ΠΕΡΙ ΝΟΥΣΩΝ ΤΟ ΤΡΙΤΟΝ.

1. Περὶ [1]μὲν οὖν πυρετῶν ἁπάντων εἴρηταί μοι· ἀμφὶ δὲ τῶν λοιπῶν ἐρέω ἤδη. [2]Οἴδημα ἐγκεφάλου· ὁκόταν ὁ ἐγκέφαλος οἰδήσῃ ὑπὸ φλεγμασίης, ὀδύνη ἴσχει ἅπασαν τὴν κεφαλήν, μάλιστα δὲ ὅπῃ σταίη ἡ φλεγμασίη· ἵσταται δὲ [3]ἐν τῷ κροτάφῳ· τά τε οὔατα ἠχῆς πλήρεα γίνεται, [4]καὶ ἀμβλὺ ἀκούει, καὶ αἱ φλέβες τέτανται καὶ σφύζουσι, πυρετός τε καὶ ῥῖγος ἐνίοτε ἐπιλαμβάνει, ἥ τε ὀδύνη ἐκλείπει οὐδέποτε, ἀλλὰ ποτὲ μὲν ἀνίησι, ποτὲ δὲ [5]μᾶλλον πιέζει· βοᾷ τε καὶ ἀναΐσσει ὑπὸ τῆς ὀδύνης, καὶ ὁκόταν ἀναστῇ, αὖθις σπεύδει [6]ἐπὶ τὴν κλίνην καταπεσεῖν, καὶ ῥιπτάζει ἑωυτόν. Οὗτός ἐστι μὲν θανατώδης, ὁκόσων δὲ ἡμερέων ἀποθανεῖται, οὐκ ἔχει κρίσιν· ἄλλοι [7]γὰρ ἄλλως ἀπόλλυνται· ὡς μέντοι ἐπιτοπολὺ ἐν τῇσιν ἑπτὰ ἡμέρῃσι τελευτῶσιν· εἴκοσι δὲ [8]καὶ μίαν διαφυγόντες ὑγιέες γίνονται. Χρὴ δὲ, ὁκόταν περιωδυνέῃ, ψύχειν τὴν κεφαλήν, μάλιστα μὲν ξύραντα, ἢ ἐς κύστιν ἢ ἐς ἕντερα ἐγχέαντα τῶν ψυκτικῶν τι, οἷον χυλὸν στρύχνου καὶ γῆν κεραμίτιδα, τὸ μὲν προστιθέναι, τὸ δὲ ἀφαιρέειν, πρὶν [9]ἢ χλιαρὸν γένηται, καὶ τοῦ αἵματος ἀφαιρέειν, καὶ τὴν κεφαλὴν καθαίρειν σελίνου χυλοῖσι μιγνύντα εὐώδεα· ἀοινέειν δὲ τὸ πάμπαν, [10]βοφεῖν δὲ πτισάνῃς χυλὸν ψυχρὸν, καὶ τὴν κάτω κοιλίην λύειν.

2. [11]Πλήρωμα ὀδυνῶδες ἐγκεφάλου· ὁκόταν δὲ περιωδυνέῃ ἡ κεφαλὴ ὑπὸ πληρώσιος τοῦ ἐγκεφάλου, ἀκαθαρσίην σημαίνει, καὶ τὴν κεφαλὴν ὅλην περιωδυνίαι [12]ἴσχουσι, καὶ παραφρονέει, καὶ ἀποθνή-

[1] Μὲν οὖν om. L. – μὲν om., restit. al. manu E. – νῦν pro οὖν GJ. – μοι εἴρηται EHK. — [2] ο. ἐ. om. FGHIK. – περὶ οἰδήσαντος ἐγκεφάλου E. – περὶ οἰδήσεως ἐγκεφάλου J. – ὁπόταν EGIJK, Ald. – ἐπὴν pro ὁκόταν θ. – ὅπη.... κροτάφῳ om. L. — [3] εἰς τοὺς κροτάφους P′θ. – καὶ (καὶ om. EHKθ, Lind., Mack) τά τε (τὰ δ' P′θ) οὔατα vulg. – πλήρη GIJ. – πλέα EHKP′Q′, Lind. — [4] καὶ ἀμβλύει ἡ ἀκοὴ vulg. – καὶ ἀμβλὺ ἀκούει EHKP′ (Q′, ἀμβλὼ sic) θ, Lind., Mack. – αἱ θ. – αἱ om. vulg. — [5] πιέζει μᾶλλον EH. – Ante βοᾷ addunt καὶ EHK. – ἀΐσσει FGIJ. — [6] ἐς EHKθ. – πεσεῖν vulg. — [7] γὰρ om. K. – δὲ, al. manu γὰρ E. — [8] καὶ om. θ. – ὑγιεῖς GIJ. – γίνονται om., restit. al. manu H. – ξηρήσαντα θ. – ἢ ἐς κύστιν ἢ om. θ. – ἐκχέαντα GJ, Ald. – ψυκτῶν P′Q′, Lind. – τι om. θ. — [9] ἢ om., restit. al. manu H. – εἶναι E (H, al. manu γένηται). – μιγνῦντα I. — [10] βομφεῖν GIJ, Ald. – πτισσ. E. – ψυχρὸν θ. – ψυχρὸν

DES MALADIES. LIVRE TROISIÈME.

1. (*Phlegmasie cérébrale.*) J'ai parlé de toutes les fièvres; je vais maintenant parler du reste. Gonflement de l'encéphale : quand l'encéphale se gonfle par phlegmasie, la douleur occupe toute la tête, surtout là où la phlegmasie est fixée; or, elle se fixe à la tempe; les oreilles sont pleines de tintements; l'ouïe est obtuse; les veines se tendent et battent; il survient parfois de la fièvre et du frisson. La douleur ne cesse jamais; mais tantôt elle se relâche, tantôt elle est plus intense; le malade crie et s'élance par l'effet de la douleur; une fois levé, il se hâte de retomber sur son lit, et est en proie à la jactitation. Un tel cas est mortel; mais en combien de jours a lieu la crise fatale? c'est ce qu'on ne peut juger, les uns succombant d'une façon, les autres d'une autre. Cependant, en général, la mort arrive dans les sept jours; passant vingt et un jours, les malades guérissent. Il faut, quand la douleur est intense, rafraîchir la tête; le mieux est de la raser, et de mettre dans une vessie ou dans un boyau quelque réfrigérant, par exemple le suc de strychnos (*solanum dulcamara*), et la terre de potier; on applique et on retire tour à tour avant que la substance appliquée ne s'échauffe. On ôte du sang, on purge la tête en mêlant des substances odorantes à du jus de persil. Le vin est défendu absolument. Pour potage le malade prend la décoction d'orge, froide. On relâche le ventre.

2. (*Phlegmasie cérébrale, otite.*) Plénitude douloureuse de l'encéphale : quand la tête est très-douloureuse, en raison de la réplétion de l'encéphale, cela indique impureté; de vives douleurs tiennent toute la tête. Le malade a du délire. Il meurt

om. vulg. — [11] π. ὀ. ἐ. om. FGHKθ. – περὶ περιωδυνίας κεφαλῆς EJP'Q', (Lind., περιωδυνίης). — [12] ἰσχουσαι, al. manu σι H. – Post ἰσχ. addit καὶ παραλαπαὶ θ. – ἐκφύγοι vulg. – ἐκφύγη GIJK, Ald., Frob., Lind., Mack. – εἰ EKθ. – ῥαγεῖ θ. – πῦον pro ὑγρὸν θ.

σκει ἑβδομαῖος, καὶ οὐκ ἂν ἐκφύγη, εἰ μὴ ῥαγείη τὸ ὑγρὸν ἑβδομαίῳ κατὰ τὰ οὔατα· οὕτω [1]δὲ ἡ ὀδύνη παύεται, καὶ ἔμφρων γίνεται· ῥεῖ δὲ πολλὸν καὶ ἄνοσμον. Τούτου [2]μάλιστα μὲν μὴ θεραπεύειν τὰ οὔατα, πρὶν ἂν ἐρρωγὸς ἴδῃς τὸ πῦον· ἢν δὲ βούλῃ καθῆραι τὴν ἄνω καὶ [3]τὴν κάτω κοιλίην, λῦσον χωρὶς ἑκατέρην· ἔπειτα πυριᾷν [4]τὴν κεφαλὴν ὡς μάλιστα ὅλην τε καὶ διὰ τῶν οὐάτων καὶ διὰ τῶν ῥινῶν· ῥοφεῖν δὲ πτισάνης χυλὸν, καὶ ἀοινέειν τὸ πάμπαν. Ἐπὴν δὲ ῥαγῇ τὸ πῦον, ἐπίσχειν, ἔστ' ἂν [5]ἡ πολλὴ τῆς ῥύσιος παύσηται· ἔπειτα κλύζειν τὰ οὔατα οἴνῳ γλυκεῖ ἢ γάλακτι γυναικείῳ ἢ ἐλαίῳ παλαιῷ, χλιαροῖσι δὲ κλύζειν, καὶ πυριᾷν τὴν κεφαλὴν θαμινὰ μαλθακῇσι πυρίῃσι καὶ εὐόδμοισιν, [6]ἵνα θᾶσσον καθαίρηται ὁ ἐγκέφαλος. Οὗτος τὰ μὲν πρῶτα οὐκ ἀΐει, προϊόντος δὲ τοῦ χρόνου ἥ τε ῥύσις ἥσσων ἐστὶ, καὶ ἡ ἀκοὴ ἅμα τῇ ῥύσει παντελῶς παυομένη παραγίνεται, καὶ ὁμοιοῦται μάλιστα ἑωυτῷ. [7]Φυλάσσεσθαι δὲ χρὴ ἡλίους, ἀνέμους, πῦρ, καπνὸν, ὁριμέων ὀδμὰς καὶ τὰ τοιαῦτα, καὶ ἡσυχάζειν διαίτῃ μαλθακῇ χρώμενον, καὶ ὑπὸ κενεαγγειῶν εὔλυτος ἔστω ἡ κοιλίη ἡ κάτω.

3. [8]Βλητοί· οἱ δὲ βλητοὶ λεγόμενοι εἶναι, ὁκόταν ὁ ἐγκέφαλος πλησθῇ πολλῆς ἀκαθαρσίης, ὀδύνην παρέχει τὸ πρόσθεν τῆς κεφαλῆς πρῶτον, καὶ ἀναβλέπειν οὐ δύνανται οἱ μὲν [9]ἀμφοῖν τοῖν ὀφθαλμοῖν, οἱ δὲ θατέρῳ, [10]καὶ κῶμά μιν ἔχει, καὶ ἔκφρονές εἰσι, καὶ οἱ κρόταφοι πηδῶσι, καὶ πυρετὸς λεπτὸς [11]ἔχει καὶ τοῦ σώματος ἀκρασίη. Οὗτος ἀποθνήσκει τριταῖος ἢ πεμπταῖος· ἐς δὲ τὰς ἑπτὰ οὐκ ἀφικνέεται· [12]ἢν δὲ ἄρα ἀφίκηται, ἐξάντης γίνεται. Τοῦτον ἢν βούλῃ θεραπεύειν,

[1] Τε pro δὲ EHIJKθ, Ald., Frob., Mack. – ἥ τε ὀδύνη I, Lind. – ἔκφρων F (H, al. manu) I. — [2] μάλιστα EHKθ. – μᾶλλον vulg. – τὰ οὔατα om. θ. – ἀνερρωγὸς pro ἂν ἐρ. IJ. – πύος K. — [3] τὴν om. GJ. – λύσον Mack. — [4] μὲν (μὲν om. FIJKθ) τὴν vulg. – ὅλην δὲ (τε EFHIJK, Ald., Frob., Lind., Mack) vulg. – ῥομφεῖν G, Ald. – πτισσ. E. – ἀοινεῖν EHIJK. — [5] ὑπολλὴ (sic), al. manu ἡ π. H. – πολὴ K. – γλυκέει K. – ἐν (ἐν om., H restit. al. manu, θ, Ald.) μαλθ. vulg. – εὐόδμησι K. — [6] ὡς θᾶσσον καθαιρῆται (καθαρεῖται Lind.; καθαιρεῖται EGJ, Ald., Frob.) vulg. – ἵνα θᾶσσον καθαίρηται θ, Mack. – οὗτος μὲν τά γε πρῶτα vulg. – οὗτος τὰ μὲν πρῶτα EHKQ'θ, Mack. – οὐκ ἐσακούει EHK. – οὐδὲν ἀκούει θ. – ὅτε ἡ pro ἥ τε Lind. – ἥσσων EK, Lind. – ἧσσον vulg. – ὁμοιοῦταί τε sine καὶ EHKθ, (Lind., γε). — [7] φυλάττεσθαι vulg. – φυλάσσεσθαι EHIJK. – αὐτὰ pro τὰ τοιαῦτα EFGHIJKθ, Ald. – χρώμενος FGHIJK. – καὶ om., restit. al. manu H. – ὑποκεναγγέων (sic) J. – κενεαγγέων vulg. – κεναγγέων G. – κενεαγγείων Lind., Mack. – ἡ κάτω om., restit. al. manu κάτω ante κοιλίη E. — [8] βλ. om. θ. – περὶ βλητῶν EFGHIJK. – εἶναι om. θ. — [9] ἀμφοτέροισι τοῖσιν ὀφθαλμοῖσιν θ. — [10] ἀλλὰ pro καὶ θ. –

le septième jour, sans espoir de salut, si, au septième jour, du liquide ne fait éruption par les oreilles; de cette façon la douleur cesse, et la connaissance revient. Le liquide qui s'écoule est abondant et inodore. Dans cette affection vous ne vous occuperez pas de traiter les oreilles, tant que vous n'aurez pas vu le pus faire éruption. Si vous voulez évacuer par le haut et par le bas, effectuez ces deux opérations séparément. Puis vous donnerez un bain de vapeur à la tête en totalité, et par les oreilles, et par les narines. Pour potage le malade prendra la décoction d'orge. Il s'abstiendra de vin absolument. Quand le pus aura fait éruption, on suspendra toute chose jusqu'à ce que le fort de l'écoulement soit passé; puis on nettoyera les oreilles avec du vin doux ou du lait de femme ou de la vieille huile; ces injections seront tièdes. On soumettra fréquemment la tête à des vapeurs émollientes et suaves, afin que le cerveau se purge plus promptement. D'abord le malade n'entend pas; mais avec le temps le flux diminue, l'ouïe, complétement supprimée pendant le flux, se rétablit, et il redevient tout à fait semblable à lui-même. Il se gardera du soleil, du vent, du feu, de la fumée, des odeurs âcres et choses semblables; il se tiendra en repos, usant d'un régime émollient; à l'aide de la vacuité des vaisseaux le ventre inférieur sera tenu libre.

3. (*Apoplexie ou ramollissement du cerveau. Comp.* des Maladies, II, § 8.) Sidérés : ceux qu'on nomme sidérés sont ainsi quand l'encéphale se remplit de beaucoup d'impuretés, ils éprouvent d'abord de la douleur à la partie antérieure de la tête; ils ne peuvent voir, les uns des deux yeux, les autres d'un œil; ils sont dans le coma; ils n'ont pas leur connaissance; les tempes battent, il y a une fièvre légère, et le corps est impuissant. Ils meurent le troisième ou le cinquième jour; ils ne vont pas jusqu'au septième; si cependant ils atteignent ce terme, ils réchappent. En ce cas, si vous voulez le traiter, vous ferez prendre un bain de vapeur à la tête; par des inci-

ἄφρενες θ. — [11] ἴσχει E. – τὰ (τὰς FHKLθ, Mack) ἑπτὰ vulg. – ἀπικνέεται L. — [12] εἰ δ' GIJ, Ald. – δ' EHK, Frob.

πυριᾷν τὴν κεφαλὴν, καὶ ταμὼν ἀνάπνευσιν ποιέειν· ἢν [1] δὲ ὀδύνη ἐστηριγμένη ᾖ, καὶ πταρμοὺς ἐμποιέειν χρὴ, καὶ τὴν κεφαλὴν καθαίρειν κούφοισι καὶ εὐώδεσι, καὶ τὴν κάτω κοιλίην καθαίρειν, ἀοινέειν δὲ τὸ πάμπαν, πτισάνῃς δὲ χυλῷ χρῆσθαι.

4. [2] Σφακελισμὸς ἐγκεφάλου· ἢν [3] δὲ σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἴσχει τὴν κεφαλὴν, καὶ διὰ τοῦ τραχήλου φοιτᾷ ἐς τὴν ῥάχιν, καὶ αὐτὸν ἐπιλαμβάνει ἀνηκουστίη, καὶ ψῦχος ἐπέρχεται ἐπὶ τὴν κεφαλὴν, καὶ [4] ἰδίει ὅλος, καὶ ἐξαίφνης ἄφωνος δείκνυται, καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ, καὶ πελιδνὸς γίνεται. Τοῦτον ἢν μὲν ἡ νοῦσος χαλαρῶς λάβῃ, τοῦ αἵματος ἀπελθόντος, ῥαΐζει· ἢν δὲ σφόδρα ἀπειλημμένος ᾖ, ἀποθνήσκει τάχα. Τούτῳ πταρμούς τε ἐμποιέειν διὰ τῶν εὐωδέων, καὶ τὰς κοιλίας ἄμφω καθαίρειν ἐν μέρει ἑκατέρῃν, [5] κούφας δὲ ὀδμὰς ἐχόντων τῇσι ῥισὶν ἀείρειν, καὶ ῥόφημα λεπτόν τε καὶ χλιαρόν· ἀοινέειν δὲ τὸ πάμπαν.

5. [6] Λήθαργοι· οἱ δὲ [7] λήθαργοι, στάσις μὲν ἡ αὐτὴ τοῦ κακοῦ τῇ περιπλευμονίῃ, χαλεπωτέρη δὲ καὶ οὐ πάμπαν ἀπήλλακται ὑγρῆς περιπλευμονίης· βραδυτέρη [8] δὲ πουλὺ ἡ νοῦσος. Πάσχει δὲ τάδε· βὴξ καὶ κῶμά μιν ἔχει, καὶ τὸ σίαλον ὑγρὸν καὶ [9] πολὺ ἀνάγει, καὶ ἀδυνατέει σφόδρα, καὶ ὁκόταν μέλλῃ ἀποθανεῖσθαι, [10] κάτω ὑποχωρέει ἐπὶ πολὺ καὶ ὑγρόν. Τούτῳ ἐλπὶς μὲν πάνυ βραχέη περιγενέσθαι· ὅμως δὲ πτύειν τε ποιέειν ὡς πλεῖστον καὶ θερμαίνειν καὶ ἀοινέειν· ἢν δὲ ἐκφύγῃ, ἔμπυος γίνεται.

6. [11] Καυσώδης· ἡ δὲ καυσώδης λεγομένη, δίψα τε ἔχει πολλὴ, καὶ ἡ γλῶσσα πέφρικε, τὸ δὲ χρῶμα αὐτῆς τὸν μὲν πρῶτον χρόνον

[1] Δ' EHK. – ὀδύνην L. – ἔχῃ vulg. – ἐστήκῃ, al. manu ἔχῃ H. – ἐστηριγμένη ἢ (sic) θ. – χρὴ om. θ. – πτισ. E. – χρῆσθαι χυλῷ EHK. — [2] σ. ἐγκ. om. Hθ. – ἢν σφακελίσῃ ὁ ἐγκέφαλος pro σφ. ἐγκ. EFGIJK. — [3] δὲ om. E. – ἔχει θ. — [4] οἰδέει vulg. – ἰδίει θ. – γίνεται pro δείκνυται EHK. – ῥέει Lind. – εἰλημμένος ᾖ, θνήσκει vulg. – ἀπειλημένος (sic) ἢ ἀποθνήσκει θ. – τάχα om. FGIJ. – ταχέως EHKQ', Lind., Mack. – ἐν μέρει ἢ (μοίρῃ sine ἢ Mack) ἑκατέρην (ἑκάτερον Mack) vulg. – Il faut en effet supprimer avec Mack ἢ, qui provient de la répétition, par iotacisme, de ει finale de μέρει. Mais μέρει peut rester. — [5] καὶ τῶν εὐωδέων (καὶ τ. εὐ. om. θ) κούφας δὲ vulg. – ῥόμφημα G, Ald. – τε καὶ om. θ. — [6] λ. om. θ. – περὶ ληθάργων E FIJK. — [7] λίθαργοι J. – ληθαργικοὶ θ. – περιπν. (bis) JK. – χαλαρωτέρη θ. – Post ὑγρῆς addit γὰρ Lind. — [8] δὲ om. Lind. – δ' ἡ νοῦσος πολλὸν θ. – πολὺ EHIJK. – καὶ κῶμά μιν om. θ. — [9] πουλὺ Lind. — [10] πολὺ pro κάτω E. – ἐπὶ om. K. – πουλὺ Lind. – βραχεῖα vulg. – βραχέη θ. — [11] κ. om. θ. – καυσώδης

sions vous y pratiquerez des débridements. Si la douleur est fixée, il faut de plus provoquer des éternuements et purger la tête par des substances légères et suaves; on évacuera le ventre inférieur. Le malade s'abstiendra de vin absolument; il usera de la décoction d'orge.

4. (*Il ne s'agit pas de sphacèle, voyez* des Maladies, II, *le* § 5, *dont celui-ci est une répétition.*) Sphacèle de l'encéphale : si l'encéphale se sphacèle, une douleur tient la tête, et gagne par le cou le rachis; le malade devient sourd; un sentiment de froid s'étend sur la tête; le malade est tout en sueur; il perd soudainement la parole; il rend du sang par les narines, et il devient livide. Si la maladie prend avec une intensité médiocre, il réchappe, du sang s'écoulant; si elle prend avec force, il meurt promptement. En ce cas, on provoquera des éternuements par les substances suaves; on évacuera par le haut et par le bas, alternativement; les odeurs des errhins seront peu actives; le potage sera léger et chaud; le vin est absolument interdit.

5. (*Léthargus ou fièvre pseudo-continue avec somnolence; voy. t.* II, *p.* 572. *Comp.* des Mal., II, § 65.) Léthargus : dans le léthargus le mal a la même constitution que dans la péripneumonie; mais le léthargus est plus difficile, et il ne va guère sans une péripneumonie humide; il a une marche beaucoup plus lente. Voici les accidents : il y a toux et coma; l'expectoration est aqueuse et abondante; le malade est dans une grande faiblesse; et, quand il est sur le point de mourir, il a des selles abondantes et aqueuses. En ce cas, il y a bien peu d'espérance de salut; cependant on le fera expectorer autant que possible, on l'échauffera, on interdira le vin. S'il réchappe, une suppuration se forme.

6. (*Fièvre ardente. Comp.* des Mal., II, § 63.) Fièvre causode : dans la fièvre dite causode, la soif est vive; la langue est rugueuse; d'abord elle conserve sa couleur, mais elle est très-

in marg. al. manu H. – περὶ καυσώδους EFGIJK. – Post λεγομένη addit [πυρετὸς τὸν ἄνθρωπον σφοδρός] Lind.

οἷόν περ εἴωθε, ξηρὴ δὲ σφόδρα· προϊόντος δὲ τοῦ χρόνου σκληρύνεται καὶ [1]τρηχύνεται καὶ παχύνεται καὶ ἐπιμελαίνεται. [2]Ἢν μὲν ἐν ἀρχῇ ταῦτα πάθῃ, θάσσους αἱ κρίσιες γίνονται· ἢν δὲ ὕστερον, χρονιώτεραι· τῆς δὲ ἀφέσιος ταῦτα πάντα ἡ γλῶσσα σημαίνει ἅπερ ἐν τῇ [3]περιπλευμονίῃ· καὶ τὰ οὖρα, χολώδεα μὲν ἢ αἱματώδεα ἐόντα, ἐπίπονα· ξανθὰ δὲ, ἀπονώτερα· καὶ τὸ πτύσμα ὑπὸ θερμασίης καὶ ξηρασίης [4]ξυγκεκαυμένον καὶ παχύ ἐστι· πολλάκις δὲ καὶ ἐς τὴν περιπλευμονίην μεθίσταται, καὶ ἢν μεταστῇ, τάχα ἀποθνήσκει. Τοῦτον [5]δὲ ὧδε χρὴ θεραπεύειν· λούειν θερμῷ δὶς ἢ τρὶς τῆς ἡμέρης ἑκάστης πλὴν τῆς κεφαλῆς, καὶ ἐν τῇσι κρίσεσιν οὐ χρὴ λούειν, καὶ τὰς μὲν πρώτας τῶν ἡμερέων ὑποκαθαίρειν καὶ ὑδροποτέειν· καὶ [6]γὰρ ἔμετον ἄγει τὸ ὕδωρ ὡς ἐπιτοπολύ· τὰς δὲ ὑστέρας μετὰ τὴν κάθαρσιν ὑγραίνειν, καὶ ῥοφήμασι χρῆσθαι καὶ οἴνοισι γλυκέσιν. [7]Ἢν δὲ μὴ ἐξ ἀρχῆς παραλάβῃς, ἀλλὰ ἤδη τῶν ἐν τῇ γλώσσῃ σημηΐων [7]ἐνεόντων, ἐᾷν χρὴ ἕως ἂν αἱ κρίσιες παρέλθωσι [8]καὶ τὰ τῆς γλώσσης σημήϊα ἠπιώτερα γένηται, καὶ μήτε φάρμακον δῶς μήτε κλύσῃς ἐς κάθαρσιν, πρὶν αἱ κρίσιες παρέλθωσιν.

7. [9]Ὁ πλεύμων οἰδέων ὑπὸ τῆς θερμασίης· [10]ὁκόταν ὁ πλεύμων οἰδήσῃ ὑπὸ θερμασίης πλησθεὶς, βηξ ἴσχει ἰσχυρὴ καὶ σκληρὴ, καὶ ὀρθοπνοίη, καὶ ἀναπνέει ἀθρόον, καὶ ἀσθμαίνει πυκνὸν, καὶ [11]ἰδίει, καὶ τοὺς μυκτῆρας ἀναπετάννυσιν ὥσπερ ἵππος ἐκ δρόμου, καὶ τὴν γλῶσσαν θαμινὰ ἐκβάλλει, καὶ τὰ στήθεα [12]αὐτῷ ἀείδειν δοκέει καὶ βάρος ἐνεῖναι, διὸ χωρέειν οὐ δύναται τὰ στήθεα, ἀλλὰ διαῤῥήγνυται καὶ ἀδυνατέει· [13]ἥ τε ὀδύνη ὀξέη ἴσχει, καὶ τὸ νῶτον καὶ τὰ στήθεα

[1] Τραχ. IJ. – ἔπειτα μελαίνεται pro καὶ ἐπιμελαίνεται θ. — [2] ἢν μὲν οὖν ἐν EH. – ἢν μὲν γὰρ ἐν L. – καὶ ἢν μὲν ἐν Lind. – θάσσους ἐκκρίσιες θ. — [3] περιπν. EHK. – χλωρὰ pro χολώδεα θ. – ἀπορώτερα FGJ. – ὑπερθερμασίης pro ὑπὸ θερμ. HJ. — [4] σ. EHIJ. – συγκαιόμενον K. – καὶ om. θ. – τε pro δὲ Lind. – περιπν. K. – καθίσταται L. — [5] δὲ om. EHK. — [6] γὰρ om. θ. – ἐπιτοπολὺ GIJ, Ald., Lind. – ῥομφήμασι G, Ald. – οἴνεσι, al. manu οι H. — [7] ἐόντων EHKθ. — [8] καὶ.... παρέλθωσιν om. FGIJ. – γλώττης K. – ἠπ. Ald., Frob. – δοῖς pro δῷς θ. – μήτε κλύσις (κλύσης EH, Ald., Frob., Mack) (μήθ' ἑλκύσης K) vulg. – πλὴν pro πρὶν θ. — [9] ὁ π. οἰ. ὑ. τ. θερ. om. θ. – ὅταν ὁ πλεύμων οἰδήσῃ ὑπὸ τῆς θερμασίης FG (H, in marg. al. manu). – ὅταν ὁ πνεύμων οἰδήσῃ ὑπερθερμασίης πλησθεὶς E. – ὅταν ὁ πλεύμων οἰδέη ὑπὸ θέρμης I. – θέρμης Lind. — [10] ὁκόταν δὲ ὁ EHK (θ, ὅταν). – πνεύμων EGHJK – πλησθῇ ὑπὸ θερμασίης καὶ οἰδήσῃ EHK. – πρισθῇ ὑπὸ φλεγμασίης καὶ οἰδήσῃ θ. – θέρμης Lind. – ἰσχυρὴ καὶ om. EHK. – καὶ σκληρὴ om. θ. –

sèche; au bout de quelque temps elle devient dure, raboteuse, épaisse et noire. Si le malade éprouve ces accidents au début, les crises sont plus promptes; si plus tard, elles sont plus lentes. Pour la solution, la langue a toutes les mêmes significations que dans la péripneumonie. Les urines, étant bilieuses ou sanguinolentes, annoncent de la souffrance; étant jaunes, de la rémission. L'expectoration, par la chaleur et la sécheresse, est brûlée et épaisse. Souvent aussi la maladie se change en péripneumonie; et, cela arrivant, le malade succombe promptement. Dans une telle affection voici ce qu'il faut faire : on lavera à l'eau chaude deux ou trois fois par jour excepté la tête; dans les crises il ne faut pas laver. Les premiers jours, on évacuera modérément, et on fera boire de l'eau. L'eau en effet provoque d'ordinaire le vomissement. Les jours suivants, après l'évacuation, on humectera; on prescrira les potages et les vins doux. Si vous avez le malade, non dès le début, mais alors que les signes sont déjà sur la langue, vous resterez en repos jusqu'à ce que les crises soient passées et que les signes de la langue deviennent meilleurs. Vous ne donnerez ni un évacuant ni un lavement purgatif avant la fin des crises.

7. (*Affection aiguë des voies respiratoires. Comp.* des Maladies, II, § 58.) Le poumon se gonflant par la chaleur : quand le poumon se gonfle rempli par la chaleur, il y a une toux forte et sèche, de l'orthopnée, respiration précipitée, anhélation. Le malade sue; il ouvre les narines comme un cheval après une course; il tire souvent la langue; il lui semble que sa poitrine crie et qu'un poids l'oppresse; pour cela il ne peut dilater la poitrine; mais il éprouve un sentiment de rupture et une grande faiblesse. Il y a une douleur vive; le dos, la poitrine et les côtes sont comme piqués d'aiguilles; il y ressent une brû-

ἀναπνεῖ vulg. – καὶ ἀναπνέει καὶ πυκνὸν καὶ ἀσθμαίνει ἀθρόον θ. – καὶ πυκνὸν ἀσθμαίνει EHK. — [11] οἰδέει vulg. – οἰδίει G. – δίει (E, al. manu οἰδέει) HIJK. – ἰδίει θ. – ὡς ἵππος δραμὼν θ. — [12] αὐτῷ.... στήθεα om. J. – δοκεῖ HK. – ἐνεῖναί τι δ (διὸ pro τι ὁ EFGIKθ; Ald., Frob., Lind., Mack) χωρέειν vulg. – διαρήγνυται HI. — [13] ἥδε θ. – ὀξείη vulg. – ὀξέη K. – καὶ om. EHKP'θ. – τόν τε (τε om. θ) νῶτον vulg. – Je pense qu'il faut lire τὸ νῶτον.

καὶ τὰς πλευρὰς ὡς βελόναι κεντέουσι, καὶ καίεται [1]ταῦτα ὡς πρὸς πῦρ καθήμενος. καὶ ἐρυθήματα ἐκφύει ἐς τὸ στῆθος καὶ τὸ νῶτον ὡς φλογοειδέα, καὶ δηγμὸς ἰσχυρὸς ἐμπίπτει, καὶ ἀπορέει, ὥστε οὔτε ἑστάναι οὔτε καθῆσθαι οὔτε κατακεῖσθαι οἷός τέ ἐστιν, [2]ἀλλ' ὧδε ἀπορέων βληστρίζει ἑωυτὸν, καὶ δοκέει ἤδη ἀποθανεῖσθαι· ἀποθνήσκει δὲ μάλιστα τεταρταῖος ἢ ἑβδομαῖος· ἢν δὲ ταύτας διαφύγῃ, οὐ μάλα ἀποθνήσκει. Τοῦτον ἢν θεραπεύῃς, [3]χρὴ τὴν κάτω κοιλίην ὡς τάχιστα καθῆραι κλύσμασι καλῶς, καὶ ἀπὸ τῶν ἀγκώνων καὶ τῆς ῥινὸς καὶ τῆς γλώσσης καὶ πάντοθεν τοῦ σώματος αἷμα ἀφιέναι, καὶ πόματα διδόναι ψυκτικὰ καὶ ῥοφήματα τὰ αὐτὰ δυνάμενα, καὶ τῶν οὐρητικῶν, μὴ [4]θερμαινόντων δὲ, πολλάκις διδόναι· καὶ [5]πρὸς μὲν τὰς ὀδύνας αὐτὰς, ὁκόταν καταιγίζωσι, χλιάσματα κοῦφα καὶ ὑγρὰ χρὴ προσφέροντα χλιαίνειν καὶ ὑγραίνειν τὸν τόπον οὗ ἂν ᾖ ἡ ὀδύνη, [6]πρὸς δὲ τὰ ἄλλα ψυκτήρια προσίσχειν τὰ μὲν ἀφαιρέοντα, τὰ δὲ προστιθέντα, καὶ ὅκου ἂν κατακαίηται, ψῦχος ποιέειν, ἀοινέειν δὲ τὸ πάμπαν.

8. [7]Κεφαλῆς ὀδύνη· ὁκόταν δὲ ἀπὸ τῆς κεφαλῆς ἀρξαμένη [8]ὀδύνη ὀξέη ἄφωνον ποιήσῃ παραχρῆμα, ἄλλως τε καὶ ἐκ μέθης, οὗτος ἀποθνήσκει ἑβδομαῖος. [9]Ἧσσον δὲ οἱ ἐκ τῆς μέθης τοιοῦτόν τι παθόντες καὶ ἄφωνοι μείναντες ἀποθνήσκουσιν· ἢν γὰρ ῥήξωσι φωνὴν αὐθημερὸν ἢ τῇ ὑστεραίῃ ἢ τῇ τρίτῃ, ὑγιέες γίνονται· ποιέουσι [10]δὲ ἐκ τῆς μέθης ἔνιοι τοῦτο, [11]οἱ δ' ἕτεροι ἀπόλλυνται. Τούτοισι πταρμούς τε ἐμποιέειν ἰσχυροὺς, καὶ ὑποκλύσαι ὅ τι ἂν χολὴν ἄξῃ σφόδρα, καὶ

[1] Τὰ ὦτα pro ταῦτα θ. – πυρὶ καθιζόμενος θ. – ἐκφλύει θ. – τὸν νῶτον vulg. – τὸν ὦτον καὶ ὡς φολιδοειδὲς θ. – φλυγοειδέα J. – ἀπορίη vulg. – ἀπορέει E. – ἀπορέη P'. – ὥστε οὔτε κατακεῖσθαι οὐθ' ἱστασθαι οὔτε καθίζεσθαι θ. – οὔτε κατακεῖσθαι om. E. — [2] ἀλλ' ἀπορέει ἀλύων ῥιπτάζει τε ἑωυτὸν θ. – διαφεύγῃ E. – ἐκφύγῃ θ. – ἀποθνήσκει θ. – θνήσκει vulg. — [3] χρὴ om. (H, restit. al. manu) θ. – κοιλίαν K. – κλύσματι FGHθ, Ald., Mack. – εὖ pro καλῶς EHθ. – γλώσσης EHK, Mack. – γλώττης vulg. – τοῦ σώματος om. (H, restit. al. manu) θ. – ἀφιθῆναι (sic) FGJ. – ῥομφήματα G, Ald. — [4] θερμαινομένων E. — [5] ἐς Lind. – προσίσχειν pro προσφέροντα θ. – χλιαίνειν.... ὀδύνη om. θ. – ἡ ὀδύνη ἢ EHK. — [6] τὸ pro πρὸς θ. – προΐσχειν vulg. – προσίσχειν θ. – τὸ μὲν ἀφ., τὸ δὲ θ. – ἢν pro ὅκου ἂν θ. – κατακέηται vulg. – κατακαίηται EHIJKLθ, Lind., Mack. — [7] κ. ὀ. om. (H, al. manu ὅταν τῆς κεφαλῆς ὀδύνη ἄρξηται) IJθ. – ὅταν ἀπὸ τῆς κεφαλῆς ἡ ὀδύνη ἄρξηται K. – ἢν ἀπὸ κεφαλῆς ἀρξαμένη ἡ ὀδύνη in marg. E. — [8] ἡ (ἡ om. EHIJK) ὀδύνη vulg. – ὀξείη Lind., Mack. – ποιήσει θ. – μέθης ὅταν γένηται (ὅταν γένηται om., H restit. al. manu, θ), οὗτος vulg. — [9] ἧσσον δὲ τοῖσιν ἐκ τῆς μέθης θανάσιμα pro ἧσσον.... ἀπο-

lure comme s'il était assis près du feu ; des rougeurs comme des flammes apparaissent sur la poitrine et le dos. De fortes mordications surviennent; il est dans l'angoisse, de sorte qu'il ne peut rester ni debout ni assis ni couché. Dans cette angoisse il s'agite, et il semble moribond. Il meurt en effet, d'ordinaire, le quatrième ou le septième jour; s'il passe ce terme, il n'est plus guère exposé à succomber. Si vous traitez ce malade, vous évacuerez aussitôt et abondamment le ventre inférieur par les lavements; vous tirerez du sang au pli du bras, aux narines, à la langue et partout. Vous donnerez des boissons rafraîchissantes, des potages ayant même vertu; vous donnerez souvent des diurétiques, qui ne soient pas échauffants. Pour les douleurs mêmes, quand elles sont pressantes, vous échaufferez et humecterez à l'aide d'applications légères et humides le lieu où la douleur est ressentie; pour le reste, vous appliquerez des rafraîchissants, que vous enleverez et remplacerez tour à tour. Là où il y a sentiment de brûlure, vous procurerez du froid. Vous interdirez absolument le vin.

8. (*Affection cérébrale aiguë suite d'un excès de boisson. Comp.* des Maladies, II, § 22.) Douleur de tête : quand une douleur aiguë partant de la tête ôte subitement la parole, principalement après l'ivresse, le patient succombe le septième jour. Ceux qui éprouvent quelque chose de semblable à la suite de l'ivresse et qui demeurent privés de la parole, sont moins exposés à succomber; en effet, si la parole fait éruption le jour même ou le lendemain ou le surlendemain, ils guérissent (Aph. v, 5). A la suite de l'ivresse cette terminaison a lieu chez quelques-uns, mais ceux qui ne parlent pas périssent. En cette affection, vous procurerez de forts éternûments; vous prescrirez des lavements qui évacuent énergiquement la bile. Si le malade reprend ses sens, vous lui donnerez du suc

θνήσκουσιν θ. – θνήσκουσιν vulg. – ἀποθνήσκουσιν K. – ἢ τῇ ὑστεραίῃ om. θ. – τριταῖοι pro τῇ τρίτῃ θ. – εἰσὶ (H, al. manu γίνονται) θ. — [10] δὲ οἱ (οἱ om. Lθ, Mack) ἐκ vulg. — [11] καὶ (καὶ om., H restit. al. manu, θ) οὐδέτεροι (οἱ δ' ἕτεροι θ) vulg. – ὃ pro ὅ τι θ. – ἂν om. (H, restit. al. manu) θ. – ἄξει HKθ.

ἢν ἐπαίσθηται, ὀπὸν θαψίης δοῦναι ἐν πολλῷ τῷ ὑγρῷ καὶ θερμῷ, ἵνα ὡς τάχιστα ἀπεμέσῃ· ἔπειτα [1]ἀπισχναίνειν, καὶ [2]ἀοινέειν ἑπτὰ ἡμέρας· ἀφαιρέειν δὲ καὶ ἀπὸ τῆς γλώσσης αἷμα, ἢν δύνῃ λαβεῖν φλέβα.

9. [3]Φρενίτιδες· [4]φρενίτιδες δὲ γίνονται καὶ ἐξ ἑτέρων νούσων. Πάσχουσι δὲ τάδε· τὰς φρένας ἀλγέουσιν, ὥστε μὴ ἐᾶσαι ἂν ἅψασθαι, καὶ πῦρ ἔχει, καὶ ἔκφρονές εἰσι, καὶ ἀτενὲς βλέπουσι, καὶ τἄλλα παραπλήσια ποιέουσι τοῖσιν ἐν [5]τῇ περιπλευμονίῃ, ὁκόταν οἱ ἐν [6]τῇ περιπλευμονίῃ ἔκφρονες ἔωσι. Τοῦτον χλιαίνειν δεῖ χλιάσμασιν ὑγροῖσι καὶ πόμασι πλὴν οἴνου, [7]καὶ ἢν μὲν οἷός τε ᾖ, ἀποκαθαίρειν ἄνω, βηχί τε καὶ πτύσει ἀνάγειν χρὴ ὥσπερ ἐν τῇ περιπλευμονίῃ· εἰ δὲ μὴ, τὴν κάτω κοιλίην παρασκευάζειν ὅκως ὑποχωρέῃ· ὑγραίνειν δὲ πόματι· ἀγαθὸν γάρ. Ἡ δὲ νοῦσος θανατώδης· ἀποθνήσκουσι [8]δὲ τριταῖοι ἢ πεμπταῖοι ἢ ἑβδομαῖοι· ἢν δὲ ἠπίως ληφθῇ, κρίνει ὡς περιπλευμονίη.

10. [9]Κυνάγχη· ὑπὸ δὲ τῆς κυνάγχης καλεομένης πνίγεται ὥνθρωπος, καὶ ἐν τῇ φάρυγγι μᾶλλόν οἱ δοκέει ἐνέχεσθαι, [10]καὶ οὔτε τὸ σίαλον κατασπᾷ [11]οὔτε ἄλλο οὐδὲν, καὶ τὼ ὀφθαλμὼ πονέετόν τε καὶ ἐξέχετον ὡς ἀπαγχομένοισι, καὶ [12]ἐκβλέπει αὐτοῖσιν ἀτενὲς, καὶ ἐπιστρέφειν οὐχ οἷός τέ ἐστιν αὐτοὺς, καὶ λύζει, καὶ ἀναίσσει θαμινὰ, καὶ τὸ πρόσωπον καὶ ἡ φάρυγξ πίμπραται, ἀτὰρ καὶ ὁ τράχηλος· [13]ὑπὸ δὲ τοῖσιν οὔασιν οὐδὲν κακὸν ἔχειν δοκέει· καὶ ὁρᾷ καὶ ἀκούει ἀμβλύτερον, καὶ ὑπὸ τοῦ πνιγμοῦ οὐκ ἔννοός ἐστιν, οὔτε ἤν τι λέγῃ,

[1] Ἐπισχ. vulg. – ἀπισχ. EHIKQ'θ, Mack. — [2] ἀσινέειν (sic) J. – ἀσιτέειν L, Lind. – γλώττης vulg. – γλώσσης EHIJK, Mack. – αἷμα pro φλέβα L. – [τὴν] φλέβα Lind. — [3] φρ. om. Hθ. – περὶ φρενιτίδων EFGIJK. — [4] φρενίτις δὲ γίνεται μὲν ἐξ θ, (Mack, καὶ pro μέν). – ἑτέρης νούσου EHKθ, Mack. – ἐάσαι I, Frob., Lind., Mack. – ἥκει vulg. – ἔχει θ, Mack. – ἀτενέες vulg. – ἀτενὲς E, Lind., Mack. – τὰ ἄλλα EH. — [5] τῆσι περιπλευμονίησι EHK, Mack. – περιπν. G. — [6] τῆσι περιπλευμονίησι Mack. – περιπν. EGJK. – εἰσὶ pro ἔωσι EGHIJ, Ald. – δεῖ om. (H, restit. al. manu) θ. — [7] κἢν Mack. – περιπν. EHK. – ὅπως EHK. – ὑποχωρέει H, Ald., Frob. – πόμασι Lind. — [8] δὲ EHK, Mack. – γὰρ pro δὲ vulg. – ἢ ἑβδ. om. FGIJ. – ἠπίως Ald., Frob. – κρινέει θ. – περιπν. EK. — [9] κ. om. θ. – νοῦσος ἡ καλεομένη κυνάγχη FG. – ἀπὸ E. – λεγομένης θ. – τε pro πνίγεται θ. – ὁ (ὁ om., restit. al. manu H) ἄνθρωπος vulg. – ὥνθρωπος θ. – φάρυγι I. – οἱ μᾶλλον EHK. – ἀνέχεσθαι (H, al. manu ἐν) K. — [10] καὶ κατασπᾶ οὔτε τὸ σίαλον, al. manu καὶ οὔτε κατ. τὸ σ. H. – κατασπᾶ τὸ σίαλον EK. — [11] οὔτ' G, Ald., Frob. – καὶ οἱ ὀφθαλμοὶ πονέουσί τε καὶ ἐξέχουσιν ὡς

de thapsie dans un liquide abondant et chaud, afin qu'il vomisse aussitôt que possible. Ensuite vous l'atténuerez, et vous lui interdirez le vin pendant sept jours. Vous tirerez aussi du sang de la langue, si vous pouvez saisir la veine.

9. (*Phrénitis ou fièvre pseudo-continue avec délire. Voy. t.* II, *p.* 571; *seulement ici l'auteur insiste sur la douleur précordiale, qui, en effet, n'est pas rare dans les fièvres rémittentes.*) Phrénitis : la phrénitis survient aussi à la suite d'autres maladies. Voici les accidents : le malade a la région phrénique douloureuse, à ce point qu'il n'y laisse pas porter la main; fièvre, délire, regard fixe, et autres accidents semblables à ceux de la péripneumonie, quand dans la péripneumonie il y a délire. En ce cas, on échauffera avec des applications humides et avec des boissons, sauf le vin; si le malade est en état, on purgera par le haut, et on évacuera par la toux et l'expectoration comme dans la péripneumonie : sinon, on disposera le ventre inférieur de manière qu'il soit libre; on humectera par les boissons; car cela est utile. La maladie est dangereuse; on meurt le troisième jour ou le cinquième ou le septième; dans le cas où elle est plus modérée, elle se juge comme la péripneumonie.

10. (*Angine.*) Angine : dans la maladie dite angine, le patient est suffoqué; c'est surtout dans la gorge qu'il lui semble avoir quelque chose. Il ne peut avaler ni la salive ni quoi que ce soit. Les yeux sont douloureux et saillants comme dans la strangulation; le regard en est fixe; et le malade ne peut les mouvoir. Il a le hoquet, de la jactitation; le visage et la gorge s'enflamment, et même le cou. Sous les oreilles il ne paraît avoir aucun mal. La vue et l'ouïe sont plus obtuses. Par l'effet de la suffocation il est hors de sens soit qu'il parle, soit qu'on

ἀγχομένοισι θ. — [12] βλέπει vulg. – βλέπτει Frob. – ἐσβλέπει H. – ἐκβλέπει θ. – καὶ στρέφειν σφέας οὐχ οἷός τε εἶναι αὐτοὺς θ. – ἔχει pro ἐστιν GK. – ἔχειν pro ἐστιν E (H, supra lin. al. manu). – ἀλύζει K'. – φάρυξ I. – ἀτὰρ om. θ. — [13] τοῖσι δὲ ὀρέουσιν (οὐρέουσιν G; ὀρέωσιν EHK) (ὑπὸ δὲ τοῖσιν οὔασιν θ) οὐδὲν vulg. – ἀμβλήτερον K.

οὔτε ἦν τι ἀκούῃ ἢ ποιέῃ· ἀλλὰ κεχηνὼς κέεται [1]σιαλοχοέων· τοιάδε [2]ποιέων οὗτος ἀποθνήσκει πεμπταῖος ἢ ἑβδομαῖος ἢ ἐνναταῖος. Ὅταν δὲ τούτων ἀπῇ τι τῶν σημηΐων, χαλαρωτέρην δηλοῖ τὴν νοῦσον, καὶ καλέουσιν αὐτὴν παρακυνάγχην. Τοῦτον φλεβοτομέειν χρὴ, μάλιστα [3]μὲν ὑπὸ τὸν τιτθόν· συνακολουθέει γὰρ ταύτῃ ἐκ τοῦ πλεύμονος θερμὸν πνεῦμα· χρὴ δὲ καὶ τὰ κάτω καθαίρειν φαρμάκῳ ἢ κλύσματι, καὶ τοὺς αὐλίσκους παρῶσαι [4]ἐς τὴν φάρυγγα κατὰ τὰς γνάθους, ὡς ἕλκηται τὸ πνεῦμα ἐς τὸν [5]πλεύμονα, καὶ ποιέειν ὡς τάχιστα πτύσαι, καὶ ἰσχναίνειν τὸν [6]πλεύμονα, καὶ ὑποθυμιᾷν ὕσσωπον κιλίκιον καὶ θεῖον καὶ ἄσφαλτον, καὶ ἕλκειν διὰ τῶν αὐλίσκων καὶ διὰ τῶν ῥινῶν, ὡς [7]ἐξίῃ φλέγμα, καὶ τὴν φάρυγγα καὶ τὴν γλῶσσαν ἀνατρίβειν τοῖσι τὸ φλέγμα ἄγουσι, καὶ τὰς φλέβας τὰς ὑπὸ τῇ γλώσσῃ τάμνειν, ἀφιέναι δὲ [8]αἷμα καὶ ἀπὸ τῶν ἀγκώνων, ἢν ἰσχύῃ· ἀοινεῖν δὲ, καὶ ῥοφεῖν πτισάνης χυλὸν λεπτόν· ἐπειδὰν δὲ [9]ἀφῇ ἡ νοῦσος καὶ σιτίων γεύηται, ἐλατηρίῳ νέῳ καθῆραι, ἵνα μὴ ἑτέρῳ κακῷ περιπέσῃ.

11. [10]Νοῦσος ἴκτερος· ἴκτερος τοιόσδε ἐστὶν ὁ ὀξὺς καὶ διὰ τάχεος ἀποκτείνων· ἡ χροιὴ [11]ὅλη σιδιοειδὴς σφόδρα ἐστὶν ἢ χλωροτέρη οἵη οἱ σαῦροι οἱ χλωροί· παρόμοιος δὲ καὶ [12]ὁ χρὼς, καὶ τῷ οὔρῳ ὑφίσταται οἷον ὀρόβιον πυῤῥόν· καὶ πυρετὸς καὶ φρίκη βληχρὴ ἔχει· ἐνίοτε δὲ καὶ τὸ ἱμάτιον οὐκ ἀνέχεται ἔχων, ἀλλὰ δάκνεται, καὶ ξύεται, καὶ ἄσιτος ἐὼν τὰ ἑωθινὰ τὰ σπλάγχα ἀμύσσεται ὡς ἐπιτοπολὺ, καὶ ὁκόταν [13]ἐγείρῃ τις αὐτὸν ἢ προσδιαλέγηται, οὐκ ἀνέχεται. Οὗτος ὡς ἐπιτοπολὺ ἀποθνήσκει ἐντὸς τεσσαρεσκαίδεκα ἡμερέων· ταύτας δὲ διαφυγὼν ὑγιὴς γίνεται. Χρὴ δὲ θερμολουτέειν, [14]καὶ πίνειν μελίκρη-

[1] Σιαλοχέων (σιαλ. om. θ) vulg. – σιαλοχοέων Lobeck, Phryn. Ecl., p. 572. — [2] πονέων Lind. – ἐνατ. HK. – Post ἐνν. addit παρακυνάγκη vulg. – παρακυνάγχη om. GKθ. – σημηΐων EHK. – σημείων vulg. – αὐτὴν om. (H, restit. al. manu) θ. — [3] μὲν HIJθ, Mack. – δὲ pro μὲν vulg. – παρὰ pro ὑπὸ L. – τὸν om. θ. – πνεύμονος EHK. — [4] εἰς E. – ἐς om. Lind. – φάρυγα IJ. – ἕλκυται Ald., Frob. — [5] πν. K. — [6] πν. K. – ὑπ. δὴ (δὲ HIJK, Lind.; δεῖ, al. manu δὴ E) (δὴ om. θ) ὕσσωπον (ὕσωπον KJ) vulg. — [7] ἐξέλη L. – φάρυγα J. – γλῶσσαν EH, Mack. – γλῶτταν vulg. – ἐν τοῖσι FGIJ, Lind. – τὸ θ. – τὸ om. vulg. — [8] αἷμα om (H, restit. al. manu) θ. – ἐκ pro ἀπὸ EK. – ῥοφῆν G, Ald., Frob. – πτισσ. E. – λεπτὸν om. θ. — [9] ἀνῇ θ. – περικαθῆραι θ. — [10] ν. ἴ. om. θ. – νοῦσος om. EIJK. – ἴκτερος δ' ὅτοιος (sic) δ' ἔστιν ὀξὺς θ. – ἐστὶν om. J. – ὁ om. EHK, Lind., Mack. – ὀξύς τε EHK. – ταχέως vulg. – ταχέος GI, Ald., Frob. – τάχεος EHK. — [11] δὲ ὅλη Lind. – ἐστι (addit δὲ Lind.) χλ. οἵη (οἷοι

lui parle, soit qu'il fasse quelque chose; il gît la bouche ouverte, et salivant. Avec ces accidents le malade meurt le cinquième jour, ou le septième ou le neuvième. Quand il manque quelqu'un de ces signes, cela montre que la maladie est moins sévère, et on la nomme paracynanche. On saignera, surtout sous la mamelle; par cette voie en effet un souffle chaud sort du poumon avec le sang. Il faut aussi évacuer par le bas à l'aide d'un évacuant ou d'un clystère. On introduira les canules dans la gorge le long des mâchoires, afin que l'air soit attiré dans le poumon. On fera cracher le malade aussitôt que possible; on atténuera le poumon. On fera une fumigation avec l'hysope de Cilicie, le soufre et l'asphalte; il attirera cette fumigation par les canules et par les narines afin que du phlegme sorte. On enduira la gorge et la langue avec des phlegmagogues. On ouvrira les veines sublinguales; on tirera aussi du sang au pli du bras si les forces sont bonnes. Le malade s'abstiendra de vin, et, pour potage, usera d'une décoction d'orge légère. Quand la maladie a cédé et qu'il commence à manger, on le purgera avec de l'élatérion récent, afin qu'il ne retombe pas dans une autre maladie.

11. (*Ictère.*) Ictère : l'ictère aigu et tuant rapidement est tel : couleur tout à fait semblable à celle d'une grenade, ou plus verte et telle que celle des lézards verts. L'intérieur est de même couleur; et l'urine dépose un sédiment rougeâtre comme de l'ers. Il y a de la fièvre et des frissons légers; parfois le malade ne peut supporter sa couverture; il ressent des morsures et des piqûres. A jeun, le matin, il éprouve généralement des déchirements dans les viscères; et, quand on l'éveille ou qu'on

Mack; ἢ HK; ἢ E) οἱ (οἱ om. K) vulg. – J'ajoute ἢ avant χλωρ. – ὅμοιος θ. — [12] ὠχρὸς pro ὁ χρὼς GJ, Ald. – καὶ ἐν τῷ L, Lind., Mack. – ἀφίσταται H. – ἐφίσταται E. – ἴσχει θ. – ἐπὶ τὸ πολὺ EHIJK. — [13] ἀναστήσῃ EP'. – ἀναστῇ, al. manu ἐγείρῃ H. – ἀνιστῇ θ. – ἐγείρει J. – ἀνέχηται G, Ald. – ἐπὶ τὸ πουλὺ Lind. – ἡμερέων EHIJK, Mack. – ἡμερῶν vulg. – γίνεται om. θ. — [14] τε καὶ E, Mack. – σὺν.... τοῦτο om. θ. – συγκαρίων GJ. – συγκαρύων I. – θασσίων GJ, Ald., Frob. – θασίω E. – Post λεπ. addunt χυλῷ L, Lind. – ἀνίσου H. – ἀνήσου EK. – [καὶ] ἀνίσου Lind. – σεσημένου IJ, Lind.

τον σὺν καρύων θασίων λεπισθέντων καὶ ἀψινθίου κόμης ἴσον, ἀνίσου σεσησμένου ἥμισυ, [1]πίνειν ὁλκῆς τριώβολον νῆστις, καὶ πάλιν ἐς κοίτην τὸ μελίκρητον τοῦτο, καὶ οἶνον παλαιὸν λεπτὸν, καὶ ῥοφήματα· ἀσιτέειν δὲ μή.

12. [2]Τέτανος· [3]οἱ τέτανοι ὅταν ἐπιλάβωσιν, αἱ γένυες πεπήγασιν ὡς ξύλα, καὶ τὸ στόμα διοίγειν οὐ δύνανται, καὶ οἱ ὀφθαλμοὶ δακρύουσί τε καὶ ἱλλαίνονται, καὶ τὸ μετάφρενον πέπηγε, καὶ τὰ σκέλεα οὐ δύνανται συνάγειν, ὁμοίως [4]οὐδὲ τὼ χεῖρε, καὶ τὸ πρόσωπον ἐρεύθει, καὶ σφόδρα ὀδυνᾶται, καὶ ὁκόταν ἀποθνήσκειν μέλλῃ, ἀνεμέει διὰ τῶν ῥινῶν καὶ [5]τὸ πόμα καὶ τὸ ῥόφημα καὶ τὸ φλέγμα. Οὗτος τριταῖος ἢ πεμπταῖος ἢ ἑβδομαῖος ἢ τεσσαρεσκαιδεκαταῖος ἀπόλλυται· ταύτας δὲ διαφυγὼν ὑγιὴς γίνεται. Τούτῳ διδόναι [6]καταπότια, πέπερι καὶ ἐλλέβορον μέλανα, καὶ ζωμὸν ὀρνιθείων πίονα θερμὸν, καὶ πταρμοὺς ἰσχυροὺς καὶ [7]πολλοὺς ἐμποιέειν, καὶ πυριᾷν· ὁκόταν δὲ μὴ πυριῆται, τὰ χλιάσματα προστιθέναι ὑγρὰ καὶ λιπαρὰ ἐν κύστεσι καὶ ἀσκίοισι πανταχόθεν, μάλιστα [8]δὲ πρὸς τὰ ὀδυνώδεα, καὶ ἀλείφειν θερμῷ καὶ πολλῷ καὶ πολλάκις.

13. [9]Ὀπισθότονος· ὅταν δὲ ὀπισθότονος ἴσχῃ, τὰ μὲν ἄλλα ὡς ἐπιτοπολὺ τὰ αὐτὰ, σπᾶται δὲ ἐς τοὔπισθεν, καὶ βοᾷ ἐνίοτε, καὶ ὀδύναι ἴσχουσιν ἰσχυραὶ, καὶ συνάγειν ἐνίοτε οὐκ ἐᾷ τὰ σκέλεα οὐδὲ τὰς χεῖρας ἐκτεῖναι· [10]ξυγκεκαμμένοι γὰρ οἱ ἀγκῶνες γίνονται, καὶ τοὺς δακτύλους πὺξ ἔχει, καὶ τὸν μέγαν δάκτυλον τοῖσιν ἄλλοισι κατέχει ὡς ἐπιτοπολὺ, [11]καὶ φλυηρέει ἐνίοτε, καὶ οὐ δύναται ἑωυτὸν κατέχειν, ἀλλ' ἀναΐσσει ἐνίοτε, ὅταν ἡ ὀδύνη ἔχῃ· [12]ὅταν δὲ ἀνῇ ἡ ὀδύνη, ἡσυχίην ἔχει· ἐνίοτε δὲ καὶ ἄφωνοι γίνονται ἅμα ἁλισκόμενοι

[1] Πίνειν [δὲ] Lind. – τριώβολον I. – τριόβολον vulg. — [2] τέτανοι E. – τέτανος om. θ. – περὶ τετάνων L. — [3] οἱ δὲ τέτανοι θ. – Addunt ἢν ante ὅταν G, Ald. – ἢν pro ὅταν EHIKθ. – αἱ EHKθ, Lind., Mack. – οἱ pro αἱ vulg. – γένυες G (H, al. manu) IJK. – ξύλιναι θ. – καὶ τὸ στόμα διαίρειν· καὶ τοὺς ὀφθαλμοὺς δακρύοντες ἅμα ἱλλαίνονται θ. – δύναται GIJ. — [4] δὲ pro οὐδὲ J. – τὰς χεῖρας θ. – ἐρεύθει καὶ om. θ. – ἀνοιδέει pro ἀνεμέει FGIJ. — [5] τὸ om. θ. – ῥύφημα EGHIJK, Ald. — [6] κατάπομα E (H, al. manu καταπότια) P'Q'θ, Lind., Mack. — [7] πολλὰ EK. – ὁπόταν HK. – ὑγρὰ προστιθέναι E. — [8] δὲ om. θ. – ὀδυνώδεα EHKQ'θ, Lind. – ὀδυνώμενα vulg. — [9] ὀπ. om. θ. – περὶ ὀπισθοτόνου L. – ὁ pro ὅταν θ. – ἴσχῃ om. (H, restit. al. manu) θ. – ἴσχει JK. – ἐπὶ τὸ πουλὺ Lind. – ταυτὰ Lind. – ὡσαύτως pro τὰ αὐτὰ θ. – ἐς E. – εἰς vulg. — [10] σ. EHK. – ξυγκεκαυμένοι G (I, σ) JL. – τείνονται pro γίνονται GIJKL. – ἐπὶ τὸ πολὺ EHI. — [11] καὶ βοᾷ (κ. β. om.

lui parle, il s'irrite. Un tel malade succombe d'ordinaire en quatorze jours ; passant ce terme, il guérit. Il prendra des bains chauds ; il boira du mélicrat avec noix de Thasos (*avelines*) pelées et feuilles d'absinthe, quantité égale, moitié d'anis criblé ; il prendra de ce mélicrat la dose de trois oboles (*obole* = 0gr,54) à jeun, et derechef en se couchant. Il boira un vin vieux léger et usera de potages. Il ne s'abstiendra pas d'aliments.

12. (*Tétanos.*) Tétanos : quand le tétanos se déclare, les mâchoires deviennent rigides comme du bois, la bouche ne peut s'ouvrir, les yeux larmoyent et ont du strabisme ; le dos est rigide ; les jambes ni les bras ne peuvent être rapprochés ; le visage est rouge. Le malade souffre beaucoup ; et, quand il est sur le point de mourir, il rejette par les narines la boisson, le potage et le phlegme. Il meurt le troisième jour ou le cinquième ou le septième ou le quatorzième. Passant ce terme, il guérit. A ce malade on donnera des pilules de poivre et d'hellébore noir dans du bouillon gras et chaud de volaille ; on provoquera des éternuements forts et répétés ; on prescrira des bains de vapeurs. Quand on ne donne pas de bains de vapeurs, on fera des applications chaudes, humides et grasses en des vessies et en des outres sur tous les points du corps, mais particulièrement sur les points douloureux. On fera des onctions chaudes et abondantes à plusieurs reprises.

13. (*Opisthotonos.*) Opisthotonos : quand il y a opisthotonos, les accidents sont à peu près les mêmes, mais le spasme est en arrière ; le malade crie parfois ; il est en proie à de violentes douleurs ; et parfois le spasme ne lui permet ni de rapprocher les jambes ni d'étendre les bras ; car les avant-bras sont pliés, le poing est fermé de telle sorte qu'en général le pouce est serré par les autres doigts. Il délire parfois ; il ne peut se contenir, il se lance quand la douleur est pressante ; mais, quand la douleur se relâche, il se tient en repos. Parfois encore, dès le début, il perd la parole ou est saisi d'un

FGIL) καὶ φλυαρέει (φλυαρεῖ E ; φλυηρέει θ) vulg. – ἀλλὰ JK. — [12] ὅτε δὲ ἀνίησιν θ.

[1] ἢ μανικοί τε καὶ μελαγχολικοί. Οὗτοι τριταῖοι ἀποθνήσκουσι τῆς φωνῆς λυθείσης καὶ ἀνεμέουσι διὰ τῶν ῥινῶν· εἰ δὲ φθάσουσι φυγεῖν τὰς τεσσαρεσκαίδεκα, ὑγιέες γίνονται. Θεραπεύειν δὲ ὡς τὸν ἄνω. Ἢν δὲ βούλῃ, καὶ ὧδε ποιέειν· ὕδωρ ὡς πλεῖστον ψυχρὸν καταχέας, [2] ἔπειτα ἱμάτια λεπτὰ καὶ καθαρὰ καὶ θερμὰ ἐπιβάλλειν, πῦρ δὲ τότε μὴ προσφέρειν. Οὕτω χρὴ ποιέειν καὶ τοὺς τετάνους καὶ τοὺς ὀπισθοτόνους.

14. [3] Εἰλεοί· εἰλεοὶ δὲ γίνονται [4] τῆς μὲν ἄνω κοιλίης θερμαινομένης, τῆς δὲ κάτω ψυχομένης· [5] ξυναυαίνεται γὰρ τὸ ἔντερον, [6] καὶ ξυμπιλέεται ὑπὸ τῆς φλεγμασίης, ὥστε μήτε τὸ πνεῦμα μήτε τὰς τροφὰς διεξιέναι, ἀλλὰ τὴν γαστέρα σκληρὴν εἶναι, καὶ ἐμέειν ἐνίοτε, πρῶτον μὲν φλεγματώδεα, ἔπειτα [7] δὲ χολώδεα, τελευτῶν δὲ κόπρον· καὶ δίψαν ἔχει, καὶ ὀδύνη [8] ἔχει μάλιστα μὲν περὶ τὰ ὑποχόνδρια, ἀλγέει δὲ καὶ πᾶσαν τὴν γαστέρα, καὶ πεφύσηται, καὶ λύζει, καὶ πυρετοὶ ἐπιλαμβάνουσιν. [9] Γίνεται δὲ μάλιστα μετοπώρου· ἀποθνήσκει δὲ μάλιστα ἑβδομαῖος. [10] Τούτους ὧδε χρὴ θεραπεύειν· καθᾶραι τὴν ἄνω κοιλίην ὡς τάχιστα, καὶ αἷμα ἀφαιρέειν ἀπὸ τῆς κεφαλῆς καὶ τῶν ἀγκώνων, ἵνα παύσηται ἡ ἄνω κοιλίη [11] θερμαινομένη, καὶ ψύχειν τὰ ἄνω τῶν φρενῶν πλὴν τῆς καρδίης· τὰ δὲ κάτω θερμαίνειν ἐν σκάφῃ ὕδατος θερμοῦ καθίζων τὸν ἄνθρωπον καὶ ἀλείφων αἰεὶ, καὶ χλιάσματα ὑγρὰ προστιθέναι· καὶ βάλανον μέλιτος [12] μόνου ποιέων ὡς δεκαδάκτυλον, ἐξ ἄκρου χολὴν ταύρου [13] ἐς τὸ πρόσθεν ἐπιπλάσσων, πρόσθες καὶ δὶς καὶ τρὶς, ἕως πάντα τὰ [14] ξυγκεκαυμένα περὶ τὸν ἀρχὸν ἐξαγάγῃς τῆς κόπρου. Κὴν μὲν οὕτως ὑπακούῃ, κλύζειν ἐπὶ τού-

[1] Οἱ pro ἢ K. – ἢ pro καὶ θ. – ἀποθνήσκουσι θ. – θνήσκουσι vulg. – ῥινῶν· καὶ οὗτοι τὰς τεσσαρεσκαίδεκα φυγόντες EHKQ'. – ῥινῶν καὶ οὐάτων τὰς δὲ τέσσαρες καίδεκα (sic) διαφυγὼν ὑγιὴς sine γίνονται θ. — [2] ἐπὶ τὰ ἱμάτια θερμὰ καὶ καθαρὰ καὶ πολλὰ καὶ λεπτὰ ἐπιβάλλειν θ. – τότε om. θ. – οὕτως vulg. – οὕτω E. – ὧδε καὶ τοὺς τετάνους καὶ τοὺς ὀπισθοτόνους ποιέειν (H, al. manu vulgata lectione restituta) (θ, τετανίκους, ὀπισθοτονίκους). – ποιέειν post ὀπισθοτόνους E. — [3] εἰ. om. θ. – περὶ εἰλεῶν EK. – δὲ om., restit. al. manu H. — [4] τῆς ἄνω κοιλίης θερμ. καὶ τῆς κάτω θ. — [5] σ. EHIJ. – συναυένεται K. — [6] καὶ ξ. ὑ. τ. φλ. om. θ. – συμπ. EHIJK. – πρῶτα FGIJ. – μετὰ pro μὲν Mack. — [7] δὲ om. Jθ. – ὀδύνην vulg. – ὀδύνη Eθ. — [8] ἔχει θ. – ἔχει om. vulg. – πρὸς (H, al. manu περὶ) θ. – ὅλην pro πᾶσαν θ. – καὶ πεφ. καὶ λύζει om. θ. — [9] γίνεται δὲ μάλιστα μεθοπώρου (sic)· ἀποθνήσκει δὲ μάλιστα ἑβδομαῖος θ. – γίνονται δὲ μάλιστα ἑβδομαῖοι pro γίνεται.... ἑβδομαῖος vulg. — [10] τοῦτον θ. – χρὴ om. θ. – καθάραι I. – καθῆραι Mack. — [11] θερμαίνουσα θ. –

transport maniaque ou mélancolique. En de tels cas on meurt le troisième jour, la voix se déliant (Coaque, 355), et on rejette par les narines; mais, si l'on dépasse quatorze jours, on guérit. Vous traiterez comme dans le cas précédent. Si vous voulez, vous pouvez encore employer ce procédé-ci : versez de l'eau froide en grande abondance, puis jetez des couvertures légères, propres et chaudes, et en ce moment n'approchez pas le feu (Aph. V, 21 ; de l'Usage des liquides, § 6). Voilà le traitement des tétanos et des opisthotonos.

14. (*Iléus; insuflation d'air dans les intestins.*) Iléus : l'iléus est produit par l'échauffement du ventre supérieur, tandis que l'inférieur est refroidi. En effet l'intestin est desséché et condensé par la phlegmasie, de sorte que ni l'air ni les aliments ne le traversent; le ventre est resserré, et il y a parfois des vomissements, d'abord de matières pituiteuses, puis bilieuses et finalement fécales. Le malade est altéré, il ressent de la douleur surtout aux hypochondres, mais aussi dans tout le ventre. Il est météorisé, il a le hoquet; des fièvres le saisissent. Cette maladie survient surtout en automne ; elle tue d'ordinaire au septième jour. Voici le traitement : on évacuera par le haut aussitôt que possible; on tirera du sang de la tête et du pli du bras, afin que le ventre supérieur cesse de s'échauffer. On rafraîchira les parties au-dessus de la région phrénique excepté le cœur. On échauffera les parties au-dessous, en faisant asseoir le malade dans un baquet d'eau chaude, en l'oignant sans cesse, et en faisant des applications chaudes humides. On fera encore avec du miel seul un suppositoire long de dix doigts, on enduira l'extrémité avec de la bile de taureau; ce suppositoire sera introduit et deux et trois fois jusqu'à ce que tous les excréments calcinés dans le rectum soient expulsés. Si

σκάφει vulg. - σκάφη EHIJKLθ, Lind., Mack. - τὸν ἄνθρωπον om. (H, restit. al. manu) θ. - ἀλείφειν θ. - ἀεὶ vulg. - αἰεὶ θ. — [12] μόνου θ, Mack. - μόνον vulg. - ποιέειν Lind. - δέκα δακτύλων θ, Mack. - δὲ δάκτυλον pro δεκαδάκτυλον FGIJ. - ἄκρω Lind. — [13] ὡς pro ἐς θ. - ἐπιπάσσων EHK. - προσπλάσσων θ. - ὡς (ἕως K'θ, Mack) πάντα vulg. — [14] σ. EHIJK. - τῶν ἀρχ GHIJ, Ald. - ἐξάγης H.

τοισιν· [1]ἢν δὲ μὴ, φῦσαν λαβὼν χαλκευτικὴν, ἐσιέναι φῦσαν ἐς τὴν κοιλίην, ἵνα διαστήσῃς τήν τε κοιλίην καὶ τὴν τοῦ ἐντέρου σύστασιν· εἶτα πάλιν [2]ἐξελὼν τὴν φῦσαν κλύσαι εὐθύς· ἕτοιμον δ' ἔστω τὸ κλύσμα, μὴ πάνυ τῶν θερμαντικῶν, ἀλλὰ [3]τῶν διαλυόντων τὰς κόπρους καὶ τηκόντων· εἶτα βύσας τὴν ἕδρην σπόγγῳ, καθήσθω ἐν ὕδατι θερμῷ κατέχων τὸ κλύσμα, καὶ ἢν δέξηται τὸ κλύσμα καὶ πάλιν μεθῇ, ὑγιὴς γίνεται. Ἐν δὲ [4]τῷ πρόσθεν χρόνῳ μέλι τε ὡς κάλλιστον λειχέτω, καὶ οἶνον αὐτίτην πινέτω εὔζωρον. [5]Ἢν δὲ τοῦ εἰλεοῦ ἀφέντος πυρετὸς [5]αὐτὸν ἐπιλάβῃ, ἀνέλπιστος· ἴσως γὰρ καὶ ἡ κάτω κοιλίη λυθεῖσα συναποκτείνειεν ἄν.

15. [6]Περιπλευμονίη· ἡ δὲ [7]περιπλευμονίη τοιάδε ποιέει· πυρετός τε ὀξὺς ἔχει, καὶ τὸ πνεῦμα πυκνὸν, καὶ θερμὸν ἀναπνέει, καὶ ἀπορίη, καὶ ἀδυναμίη, καὶ ῥιπτασμὸς, καὶ ὀδύνη ὑπὸ τὴν ὠμοπλάτην καὶ [8]εἰς τὴν κληῖδα καὶ [9]ἐς τὸν τιτθὸν, καὶ βάρος ἐν τοῖσι στήθεσιν, ἐνίοτε δὲ καὶ παραφροσύνη. Ἔστι [10]δ' οἷσιν ἀνώδυνός ἐστιν, ἕως ἂν ἄρξωνται βήσσειν· πολυχρονιωτέρη δὲ καὶ χαλεπωτέρη κείνης. Τὸ δὲ σίαλον [11]λεπτὸν καὶ ἀφρῶδες πτύει τὸ πρῶτον. Ἡ δὲ γλῶσσα ξανθή· προϊόντος δὲ τοῦ χρόνου μελαίνεται· ἢν μὲν οὖν ἐν ἀρχῇ [12]μελαίνηται, θάσσους αἱ ἀπαλλαγαί· ἢν [13]δὲ ὕστερον, σχολαίτεραι· τελευτῶσι δὲ καὶ ῥήγνυται ἡ γλῶσσα, [14]καὶ ἢν προσθῇς τὸν δάκτυλον, ἔχεται· τὴν δὲ ἀπάλλαξιν τῆς νούσου σημαίνει ἡ γλῶσσα, ὥσπερ καὶ ἐν τῇ πλευρίτιδι ὁμοίως. Ἃ ταῦτα δὲ πάσχει ἡμέρας τεσσαρεσκαίδεκα τοὐλάχιστον, τὸ πλεῖστον δὲ εἴκοσι καὶ μίαν, καὶ βήσσει τοῦτον τὸν χρόνον σφόδρα, καὶ καθαίρεται ἅμα τῇ βηχὶ, τὸ μὲν πρῶτον πολὺ

[1] Εἰ EHKθ. – λαβὼν EFGHIJKθ, Ald. – λαβὼν om. vulg. – ἐσιέναι καὶ (καὶ om. θ) φυσᾶν vulg. – Supprimez καὶ et lisez φῦσαν. – σύσταλσιν (G, al. manu), Ald. — [2] ἐκφέρων θ. – κλύσαι· εὐθὺς δὲ (δ' EHK) ἕτοιμον vulg. – κλύσαι εὐθύς· ἕτοιμον δ' θ. – πολὺ pro πάνυ θ. – πάντων pro πάνυ τῶν J. – καὶ pro ἀλλὰ θ. — [3] τῶν om. EHKθ. – γίνεται om. θ. — [4] τὸ J. – τε om. Lind. – τέως G, Ald. – αὐγίτην vulg. – αὐγίτιν H. – αὐτίτην θ, Lind., Mack. – ἔγχωρον vulg. – ἔνχωρον HK. – εὔζωρον θ, Mack. – Erot. Gl. : δεινὸν (l. οἶνον) ἀὐτίτην, τὸν ἀπαράχυτον· ὡς καὶ Πολύζηλος ἐν Δήμῳ Τυνδάρεων φησὶν, ἄμαθα γὰρ ἀὐτίταν πᾶσί τε θεοξενίης ἐγένετο. Autre est l'explication de Gal. Gl. : αὐτίτην οἶνον, τὸν αὐτοετίτην, τὸν ἐκ τοῦ ἐνεστῶτος ἔτους. — [5] αὐτὸν om. θ. – καὶ om. θ. – συναποκτείνειεν EHKθ. – ἀποκτείνειεν vulg. — [6] π. om. θ. – περιπν. GK. – περὶ πλευμονίης EF. — [7] περιπν. G. – ἰσχυρὸς pro ὀξὺς θ. – ἴσχει Eθ. – πυκινὸν E Kθ, Ald. – πυκινὸν καὶ πυκνὸν pro πυκνὸν καὶ θερμὸν FGIJ. – ὠμοπλάτιν E. — [8] ἐς Lind. — [9] εἰς EFHIJK, Ald., Frob. – ἐνίοτε δὲ om. θ. – παραφρονεῖ

cela réussit, on fera prendre un lavement; sinon, on prendra un soufflet de forge, et on introduira de l'air dans le ventre afin de dilater et le ventre et l'intestin contracté; alors, faisant sortir l'air, on administrera aussitôt un lavement. Le lavement doit être prêt; il sera composé de substances qui n'échauffent pas beaucoup, mais qui dissolvent et fondent les excréments. Puis, enfonçant une éponge dans l'anus, le malade s'asseoira dans de l'eau chaude, gardant le lavement; s'il reçoit et puis rend le lavement, il guérit. Auparavant, il prendra en éclegme de l'excellent miel et boira du vin de l'année non coupé. Si, l'iléus ayant cédé, la fièvre survient, le cas est désespéré; car sans doute le flux de ventre entraînera la mort.

15. (*Péripneumonie.*) Péripneumonie : la péripneumonie cause ces accidents : il y a fièvre aiguë, respiration fréquente, expiration chaude, angoisse, faiblesse, jactitation, douleur sous l'omoplate, à la clavicule, à la mamelle, pesanteur dans la poitrine, et parfois délire. Chez quelques-uns la péripneumonie est indolente jusqu'à ce qu'ils commencent à tousser; mais elle est plus longue et plus difficile que l'autre. L'expectoration est d'abord ténue et écumeuse. La langue est jaune; au bout de quelque temps elle noircit. Si elle est noire dès le début, les solutions sont plus promptes; si plus tard, elles sont plus lentes. Vers la fin la langue se gerce aussi, et le doigt, si on l'y applique, s'y colle. La langue donne pour la solution de la maladie les mêmes signes que dans la pleurésie. Le malade présente ces accidents pendant quatorze jours au moins, pendant vingt et un jours au plus; il tousse beaucoup tout ce temps, et avec la toux il se purge de matières d'abord abondantes, écumeuses, puis, au septième jour et au huitième,

EFG (H, al. manu) IJKLP'Q'. — [10] δὲ EK. – ἂν om. θ. – ἦν pro ἂν GHJK, Ald., Frob., Lind. — [11] λευκὸν EHKP'Q'θ, Lind., Mack. – καὶ ἡ γλῶσσα θ. — [12] μελαίνοιτο EFGIK, Ald. – μελεδαίνοιτο J. – ἀπαλλάξιες θ. – κρίσιες Codd. quidam ap. Foes in not. — [13] δ' EK. — [14] καὶ.... γλῶσσα om. J. – εἰ GI. – προσθεὶς GI, Ald., Frob. – θράσσεται pro ἔχετ[illegible]. – ἦν pro τὴν GI. – σημαίνη G. – ὁμοίως δὲ ταῦτα J. – ταῦτα καὶ pro ταῦτα δὲ Lind. – πουλὺ Lind.

καὶ ἀφρῶδες σίαλον, ἑβδόμῃ [1]δὲ καὶ ὀγδόῃ, ὁκόταν ὁ πυρετὸς ἐνακμάζῃ, ἢν [2]ὑγρὴ ἡ περιπλευμονίη ἔῃ, παχύτερον· [3]ἢν δὲ μὴ, οὔ· ἐννάτῃ [4]δὲ καὶ δεκάτῃ ὑπόχλωρον καὶ ὕφαιμον, δωδεκάτῃ δὲ μέχρι τῆς τεσσαρεσκαιδεκάτης πουλὺ καὶ πυῶδες. [5]Ὧν ὑγραί εἰσιν αἵ τε φύσιες καὶ [6]αἱ διαθέσιες τοῦ σώματος, αὐτὰρ καὶ ἡ νοῦσος ἰσχυρή· ὧν δὲ ἥ τε φύσις καὶ ἡ κατάστασις τῆς νούσου ξηρὴ, ἧσσον οὗτοι. Ἦν μὲν οὖν [7]τῇ πέμπτῃ καὶ ἕκτῃ ἐπὶ δέκα ξηρανθῇ καὶ μηκέτι ἀποβήσσῃ πυῶδες, ὑγιής ἐστιν· ἢν δὲ μὴ, πρόσεχε πρὸς τὰς εἴκοσι δυοῖν δεούσας καὶ τὰς εἴκοσι καὶ μίαν τὸν νόον, καὶ ἢν μὲν ἐνταῦθα παύσηται τοῦ πτύσματος· [8]ἢν δὲ μὴ, ἔρου αὐτὸν, εἰ γλυκύτερον τὸ σίαλον, καὶ ἢν [9]μὲν φῇ, ἴσθι ὅτι ὁ πλεύμων αὐτῷ ἔμπυός ἐστι καὶ ἡ νοῦσος καθίσταται ἐνιαυσίη, ἢν μὴ ἐν τῇσι τεσσαράκοντα ἡμέρῃσι σπεύδων ἀναγάγῃ τὸ πῦον· ἢν δὲ φῇ ἀηδὲς εἶναι τὸ σίαλον, θανατώδης ἡ στάσις τῆς νούσου. Ἀλλ' ἐν τῇσι [10]πρώτῃσιν ἡμέρῃσι μάλιστα διαδηλοῖ· ἢν γὰρ ἐκπτύσῃ τὸ σαπὲν καὶ τὸ πυωθὲν ἐν ἡμέρῃσι δύο καὶ εἴκοσι καὶ μὴ ἑλκωθῇ, ἐκφεύγει· [11]ἢν δὲ μὴ, οὔ. Αὕτη ἡ περιπλευμονίη οὐδὲν ἀπολείπει [12]τῶν ἐκ περιπλευμονίης κακῶν· ἢν οὖν τι τούτων ἀπῇ τῶν κακῶν, εἰδέναι χρὴ τοσοῦδε δέουσαν τῷ κάμνοντι ἔχειν καὶ τῷ [13]ἰητρῷ μεταχειρίζεσθαι· ἢν δὲ ὀλίγα ἔχῃ τούτων

[1] Δὲ om. J. – ὁπόταν EHK. — [2] ὑγρὴ εἴη (εἴη om. θ; ἡ EFHIK) ἡ vulg. – περιπν. K. – ἴῃ παχύτερον vulg. – Je lis ἔῃ et mets la virgule avant παχ. – παχύτερον (E, al. manu παχ) FGIJKLQ'. — [3] εἰ EHK. – ἐνάτῃ HK. — [4] δὲ om. E. – καὶ τεσσαρεσκαιδεκάτῃ pro τῆς τεσσαρεσκαιδεκάτης G, Ald. – τῆς om. JK. – τεσσάρων καὶ δέκα θ. – τεσσαρεσκαιδεκάτη J. – πολὺ EHK. — [5] ὧν καὶ (καὶ om. θ) vulg. — [6] αἱ θ. – αἱ om. vulg. – ἀτὰρ EFGJK. – αὐτὰρ om. θ. – ἡ στάσις τῆς νούσου οὐ ξηρὴ θ. — [7] τῇ om. EHθ. – τετάρτῃ καὶ δεκάτῃ (πέμπτῃ καὶ ἕκτῃ ἐπὶ δέκα θ) ξηρανθῇ vulg. – ἀποβήσσει E. – εἰ pro ἢν EH. – εἰς HIJK. – ἐς vulg. – πρὸς θ. – δεουσῶν vulg. – δεούσας EHIKQ'θ, Lind., Mack. – δεούσῃ J. – ἐνταῦθα om. FGJ. – παύσηται, ἐκφεύγει (ἐκφεύγῃ G, Ald.) τοῦ πτύσματος (παύσηται ἐκ τοῦ πτύσματος, φεύγει K', Mack) vulg. – Je pense que la correction est de supprimer ἐκφεύγει, une telle tournure étant fort usitée. Quelqu'un, ne la trouvant pas suffisamment claire, aura mis à la marge ἐκφεύγει, qui de là aura passé dans le texte, mais avant τοῦ πτύσματος, au lieu d'être placé après. — [8] εἰ EHK. — [9] μὲν θ. – μὲν om. vulg. – ἴσθι ὅτι om. (H, restit. al. manu) θ. – πν. K. – ἀγάγῃ θ. — [10] Post πρ. addit ἡ δευτέρησιν θ. – διάδηλοι vulg. – Je lis διαδηλοῖ. – ἐκπτυσθῇ θ. — [11] εἰ HK. – περιπν. K. — [12] τῶν ἐκ περιπλευμονίης κακῶν θ. – τῶν ἐν τῷ πλεύμ[illegible] (πν. GJK) ἐόντων κακῶν vulg. – ἀπὸ pro ἀπῇ G, Ald. – χρὴ ὅσα τε τῷ κάμνοντι vulg. – χρὴ δέουσαν τῷ κάμνοντι θ. – En soi, la leçon de vulg. est peu sûre; d'abord il faudrait sans doute la lire

quand la fièvre est à son summum, plus épaisses si la péripneumonie est humide, mais non si elle ne l'est pas; au neuvième et au dixième, jaunâtres et sanguinolentes; au douzième jusqu'au quatorzième, abondantes et purulentes. Chez ceux dont le corps a une nature et une disposition humides, la maladie est intense; chez ceux où la nature et la constitution de la maladie sont sèches, la gravité est moindre. Si dans le quinzième ou le seizième jour le poumon se dessèche et qu'il n'y ait plus d'expectoration purulente, le malade guérit; sinon, faites attention aux dix-huitième et vingt et unième jours. L'expectoration cesse-t-elle à cette époque? très-bien; dans le cas contraire, demandez-lui si l'expectoration a une saveur plus douce; répond-il oui? sachez que le poumon est le siége d'une suppuration et que la maladie prend une constitution à durer une année, à moins que le pus ne soit hâtivement évacué dans les quarante jours. S'il répond que le goût de l'expectoration est désagréable, la situation de la maladie est très-dangereuse. C'est surtout dans les premiers jours que l'issue se manifeste; en effet, si le malade expectore en vingt-deux jours les matières corrompues et purulentes sans ulcération, il réchappe; sinon, non. Dans une telle péripneumonie ne manquent aucun des maux de la péripneumonie. Si quelqu'un de ces accidents est absent, sachez que c'est autant de moins pour le malade à supporter, pour le médecin à traiter. Si peu de ces signes sont présents, n'allez pas vous

ὅσα τῷ τε κάμνοντι; puis le sens n'en est aucunement satisfaisant. Elle devient encore plus incertaine en présence de celle de θ, qui, sans donner rien de clair, montre cependant que la tradition du texte a souffert ici entre les mains des copistes. Si j'avais à restituer le texte indépendamment de ce qu'en donnent les mss., je lirais εἰδέναι χρὴ μαλακωτέρην ἐοῦσαν τῷ κάμνοντι κτλ. Mais, en suivant nos variantes, il me semble retrouver en ὅσα τε assez du mot δέουσαν pour croire que la bonne lecture est δέουσαν. Cela supposé, il faut supposer aussi que dans le texte de vulg. et dans celui de θ un mot a été sauté, tel que τοσοῦδε, qu'en conséquence j'introduis. — [13] ἰατρῷ J. – ἔχει J. – σημείων vulg. – σημηΐων E. – ἐξαπατάτω· ἐπεὶ (ὡς Q') οὐκ ὀλέθριος περιπλευμονίη ἐστὶν, ἀλλά τις μαλθακὴ vulg. – ἐξαπατάτῳ ὡς (ἐπεὶ H) οὐ (οὐκ al. manu E) (addit ὀλέθριος al. manu E) περιπλευμονίη (περιπν. E) ἐστιν· ἔστι γὰρ (ἀλλά τις E) μαλθακὴ EHKθ.

τῶν σημηίων, μὴ ἐξαπατάτω ὡς οὐ περιπλευμονίη ἐστίν· ἔστι γὰρ μαλθακή. Θεραπεύειν δὲ [1]χρὴ τὴν περιπλευμονίην οὕτως· οὐ μέντοι ἐξαμαρτήσῃ καὶ πλευρῖτιν καὶ φρενῖτιν οὕτω μεταχειριζόμενος· [2]ἄρχου τὸ πρῶτον κουφίζων τὴν κεφαλὴν, ἵνα μηδὲν ἐπιῤῥέῃ [3]πρὸς τὸ στῆθος· τὰς δὲ πρώτας ἡμέρας τὰ βοφήματα ἔστω γλυκύτερα, οὕτω γὰρ ἂν μάλιστα τὸ [4]ξυγκαθήμενον καὶ τὸ ξυνεστηκὸς ἀποπλύνοις καὶ κινέοις· τεταρταίοισι δὲ καὶ πεμπταίοισι καὶ ἑκταίοισι μηκέτι γλυκύτερα, ἀλλὰ λιπαρὰ, ἐς γὰρ τὴν ἄνω πτύσιν ὑποχρέμπτεσθαι [5]ξυμφέρει· ἢν δὲ μὴ δύνηται κατὰ λόγον πτύειν, τῶν ἀναγόντων φαρμάκων διδόναι. Τὰς δὲ κοιλίας ἐν μὲν τῇσι πρώτῃσιν ἡμέρῃσι τέσσαρσιν ἢ πέντε ὑποχωρέειν χρὴ καὶ ὀλίγῳ μᾶλλον, ἵνα οἵ τε πυρετοὶ ἀμβλύτεροι ἔωσι καὶ τὰ ἀλγήματα κουφότερα· [6]ὁκόταν δὲ κεκενωμένος ᾖ καὶ ἀσθενὴς τὸ σῶμα, [7]τὴν κάτω κοιλίην διὰ τρίτης ὑποκινέειν, ἵνα τό τε [8]σῶμα μὴ ἀδύνατον ᾖ καὶ τὰ ἄνω χωρία ἔνυγρα· ἢν γὰρ κάτω [9]τὸ ὑγρὸν πολλὸν ὑποχωρέῃ ἀπὸ τῆς πέμπτης ἡμέρης, θάνατον ποιέει· κάτω γὰρ τοῦ ὑγροῦ ὑποχωρέοντος, [10]τὰ ἄνω ξηραίνεται, καὶ ἡ κάθαρσις τοῦ πτύσματος οὐ χωρέει ἄνω. Δεῖ οὖν καὶ τὴν [11]κάτω κοιλίην μήτε ἑστάναι [12]λίην, ἵνα μὴ ὀξέες ἔωσιν οἱ πυρετοὶ, μήτε λίην ὑποχωρέειν, [13]ἵνα τὸ σίαλον ἀνιέναι δύνηται καὶ ἰσχύῃ ὁ κάμνων. Φάρμακα δὲ τῆς ἀναγωγῆς ἑκταίοισι καὶ [14]ἑβδομαίοισι καὶ ἐνναταίοισι καὶ ἔτι περαιτέρω ἐοῦσι τῆς νούσου μᾶλλον δίδου· τὸ δὲ φάρμακον ἔστω ἐλλέβορος λευκὸς, θαψίη, ἐλατήριον νέον, ἴσον ἑκάστου. [15]Ἢν δὲ τὸ σίαλον μὴ καθαίρηται εὖ καὶ τὸ πνεῦμα πυκνὸν ᾖ [15]καὶ τῆς καθάρσιος μὴ ἐπικρατέῃ, προειπεῖν ὅτι ἀνέλπιστός ἐστι [16]τοῦ ζῆν, ἢν μὴ δύνηται τῇ καθάρσει ὑπουργέειν. Ποιέειν δὲ καὶ τὰ ἐν τῇ [17]περιπλευμονίῃ, ἤν σοι τὰ τῆς κοιλίης τῆς κάτω καλῶς ὑπουρ-

[1] Ὧδε pro χρὴ ΕΗΚθ. – περιπν. ΗΚ. – οὕτως om. ΕΗΚθ. – μέν τι J. – ἐξαμαρτήσει vulg. – ἐξαμαρτήσῃ ΕΗΚ. – καὶ φρ. καὶ πλ. ΕΗΚ. — [2] Ante ἄρχου addit θεραπεία L. – τὴν κεφαλὴν ἄρχου κουφίζειν, sine τὸ πρῶτον, alia manu πρῶτον sine τὸ H. – τὴν κεφαλὴν ἄρχου κουφίζειν πρῶτον EK. – τὴν κεφαλὴν ἄρχου κουφίζων θ. – κουφίζειν vulg. — [3] ἐς ΕΗΚθ. – τὰ δὲ βοφήματα τὰς μὲν πρ. ἡμ. γλυκύτερα sine ἔστω ΕΗΚθ. – ἤτω pro ἔστω FGIJ. — [4] συγκ. EHIJK. – συνεσ. EHIJK. – κινοίης θ, Mack. — [5] σ. ΕΗΚ. – ἐκ τῶν θ, Lind., Mack. – φάρμακον GQ'θ, Lind., Mack. — [6] ὁπ. ΕΗΚ. — [7] τὴν κοιλίην κάτω E. — [8] σῶμα δυνατὸν ᾖ vulg. – σῶμα μὴ ἀδύνατον ᾖ θ. – ἔνυγρα θ. – ἄνικμα vulg. — [9] τὸ θ. – τὸ om. vulg. – ἡμέρας E. — [10] καὶ pro τὰ Mack. – Ante τοῦ addit ἡ θ. — [11] ἄνω pro κάτω θ. — [12] μὴν, al. manu λίην E. – λίην om. θ. — [13] Post ἵνα addunt μὴ FGJ. — [14] ὀγδοαίοισι pro ἑβδ. καὶ ἐνν. θ. – ἑνατ. ΗΚ. – μᾶλλον

tromper et croire que ce n'est pas une péripneumonie ; c'en est une peu intense. Vous traiterez ainsi la péripneumonie (et vous ne commettrez point d'erreur en traitant de même la pleurésie et la phrénitis) : commencez d'abord par alléger la tête afin que rien n'en découle sur la poitrine. Dans les premiers jours les potages seront de saveur douce; c'est en effet de cette façon surtout que vous délayerez et déplacerez ce qui est amassé et condensé. Le quatrième jour, le cinquième et le sixième, les potages ne seront plus doux, ils seront gras; car ils secondent l'expectoration. Si le malade ne peut convenablement expectorer, on donnera quelque expectorant. Dans les quatre ou cinq premiers jours il faut procurer des évacuations alvines, même assez abondantes, afin que les fièvres soient moins vives et les souffrances plus légères. Quand les évacuations ont été procurées et que le malade est faible, on ne lâchera le ventre inférieur que de deux jours l'un, afin que le corps ne perde pas toute force et que les parties supérieures conservent de l'humidité. En effet, si à partir du cinquième jour beaucoup de liquide s'écoule par le bas, cela cause la mort; le liquide s'en allant par le bas, les parties supérieures se dessèchent, et la purgation par voie d'expectoration ne procède pas. Il faut donc que le ventre inférieur ne soit ni trop resserré afin que les fièvres ne soient pas aiguës, ni trop relâché afin que le malade puisse expectorer et conserve de la force. Les expectorants seront donnés le sixième jour, le septième, le neuvième et à une époque encore plus avancée de la maladie. L'expectorant sera hellébore blanc, thapsie, élatérion récent, dose égale de chaque. Si l'expectoration ne marche pas bien, si la respiration est fréquente et que le malade ne prenne pas le dessus de la purgation, prédisez que le cas est désespéré, à moins qu'il ne puisse suffire à la purgation. Il faut aussi faire ce qui convient dans la péripneumonie, si les évacuations alvi-

om. θ. — [15] καὶ τὰ τῆς Κ'. — [16] τοῦ om. ΕΗΚ. — [17] περιπν. Κ. – πλευμονίη Ε. – ὑπουργέει J.

γέῃ. Ποιέειν δὲ καὶ ἄλλως ἀπὸ τῆς πρώτης ἡμέρης ἀρξάμενος· δίδου [1] ἄρου τοῦ μεγάλου κόγχην χηραμίδα, καὶ δαύκου καὶ ἀκαλήφης μίην, καὶ νάπυος καὶ πηγάνου ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, καὶ ὀπὸν σιλφίου ὅσον κύαμον· ταῦτα ἐν [2] ὀξυγλυκεῖ καὶ ὕδατι κεράσας καὶ διηθήσας, δίδου νήστει χλιαρόν. Ἐπειδὰν δὲ ἄρχηται καθαρὸν ἐκπτύειν, [3] ἄρου χηραμίδα καὶ σήσαμον καὶ ἀμύγδαλα καθήρας ἐν ὀξυγλυκεῖ κεκρημένῳ πίνειν· ἢν δὲ μᾶλλον βούλῃ ἄγειν, καππάριος τῆς ῥίζης φλοιὸν μιγνύναι τούτοισιν.

16. [4] Πλευρῖτις· ὁκόταν δὲ πλευρῖτις λάβῃ, τάδε πάσχει· ὀδύνη τὴν πλευρὴν καὶ πυρετὸς καὶ φρίκη ἴσχει, καὶ ἀναπνέει πυκνὸν, καὶ ὀρθοπνοίη ἔχει, καὶ ἀναβήσσει ὑπόχολα οἷον ἀπὸ σιδίου, ἢν μὴ ῥήγματα ἔχῃ· ἢν [5] δὲ ἔχῃ, καὶ αἷμα ἀπὸ τῶν ῥηγμάτων· ἐν δὲ τῇ [6] αἱματώδει ὕφαιμον. Ἔστι δὲ ἡ μὲν χολώδης ἠπιωτέρη, ἢν μὴ ῥήγματα ἔχῃ ὁ κάμνων· [7] εἰ δὲ μὴ, ἐπιπονωτέρη μὲν, θανατωδεστέρη δὲ οὔ· ἡ δὲ αἱματώδης [8] ἰσχυρὴ καὶ ἐπίπονος καὶ θανατώδης· ὁκόταν οὖν προσῇ καὶ λὺγξ ἅμα καὶ αἵματος θρόμβους ἀποβήσσῃ ἅμα τῷ σιάλῳ μέλανας, οὗτος ἀποθνήσκει ἑβδομαῖος· δέκα [9] δὲ ἡμέρας διαφυγὼν, τὴν μὲν πλευρῖτιν ὑγιὴς γίνεται, εἰκοστῇ δὲ [10] ἐμπυίσκεται, καὶ ἀποβήσσει πῦον, τελευτῶν δὲ [11] καὶ ἀπεμέει, καὶ πάνυ εὐθεράπευτος οὐ γίνεται. [12] Εἰσὶ δὲ καὶ ξηραὶ πλευρίτιδες ἄπτυστοι, χαλεπαὶ [13] δὲ αὗται· αἱ δὲ κρίσιες ὅμοιαι τῇσιν ἄλλῃσιν· ὑγρασίης δὲ πλέονος δέονται τῶν ἄλλων ἐν τῷ ποτῷ. Αἱ δὲ χολώδεες καὶ αἱματώδεες κρίνουσιν [14] ἐννα-

[1] Ἄρτου K. – τοῦ om. Kθ. – κόχην FGJ. – χηραμύδα EH. – Il faut probablement lire κόγχην ἢ χηραμίδα comme plus loin, p. 150. Cependant lisez-y la note 8, qui donne quelque appui à la lecture κόγχην χηραμίδα. – καὶ (καὶ om. vulg.) δαύκου θ. – ἀκαλίφης GHIJK, Frob., Lind. – μίαν E (H, al. manu ην). — [2] ὄξει γλυκεῖ (γλυκὺ GJ) vulg. – Je lis ὀξυγλυκεῖ en un seul mot. – ἄρξηται L. – ἐκπυεῖν θ. — [3] ἄρτου K. – χηραμύδα H. – σίσαμον GJ. – ὄξει γλυκεῖ vulg. – κεκηρωμένω (E, al. manu κεκρημένω) L, Lind. – ἐπικηρωμένω P'Q'. – βούλει HK. – καπάριος GI. — [4] Post πλ. addunt νοῦσος FG. – περὶ πλευρίτιδος E. – πλευρίτης J. – πλευρίτις (ubique) K. – πλ. om. θ. – ὁπόταν EHIJK. – ἀναπνέει θ. – ἀναπνεῖ vulg. – πυκινὸν EGHIKθ, Ald. – ὀρθοπνίη θ. – ὑπόχολον EHKθ. – οἷον om. θ. – ῥήγματι J. — [5] δ' EHK, – καὶ om. J. – ῥηγμάτων· ἔστι δὲ καὶ αἱματώδης (ἔστι δὲ κ. αἱμ. om. θ), ἐν δὲ vulg. — [6] αἱματώδη EJ. – ἠπιωτέρη Ald. — [7] ἢν E. – θανατώδης K. — [8] ἰσχ. om. θ. – ὁκόταν IJ. – ὁπ. vulg. – λὺξ GJ. – αἵματα GJ. – ἀποβήσσει HK. — [9] δὲ om. FG (J, restit. al. manu). — [10] ἐκπ. vulg. – ἐμπ. HIKLθ. – πύος K. — [11] καὶ H (θ, sine δέ). – καὶ om. vulg. – καὶ οὐ πάνυ θεράπευτος (sic) γίνεται θ. – ἀθεράπευτος J. — [12] ξηραὶ πλευρίτιδες (πλ. ξ. E) (ξ. πλ. om. Hθ)· εἰσὶ δὲ (δὲ om. θ)

nes rendent bon service. On peut encore agir autrement, en commençant au premier jour : prenez du grand arum (*arum italicum Lam., d'après Fraas, p.* 273, *avec un point de doute*) plein une coquille, une coquille de daucus et d'ortie, une pincée de moutarde blanche et de rue, et gros comme une fève de suc de silphion; mêlez cela dans de l'oxyglyky (*préparation de vinaigre et de miel*) et de l'eau, filtrez, et donnez à boire chaud à jeun. Quand l'expectoration commence à devenir pure, donnez à boire, dans de l'oxyglyky coupé, une coquille d'arum, du sésame et des amandes nettoyées; si vous voulez une expectoration plus active, mêlez-y l'écorce de la racine de câprier.

16. (*Pleurésie.*) Pleurésie : Voici les accidents de la pleurésie : il y a douleur de côté, fièvre et frisson, respiration fréquente, orthopnée. L'expectoration est de couleur subbilieuse comme celle de la grenade, à moins qu'il n'y ait des ruptures; s'il y en a, le malade expectore aussi du sang, que les ruptures fournissent. Dans la pleurésie sanguine, l'expectoration est sanguinolente. La pleurésie bilieuse (Coaque, 381) est plus bénigne, à moins que le malade n'ait des ruptures; s'il en a, elle est plus pénible (Coaque, 376), mais non plus dangereuse. La pleurésie sanguine est violente, pénible et dangereuse; quand donc il y a en outre hoquet et expectoration de grumeaux de sang noir (*apoplexie pulmonaire, voy.* des Maladies, II, § 64), le patient succombe au septième jour; passant dix jours, il guérit, à la vérité, de la pleurésie, mais le vingtième il devient empyématique, expectore du pus, finit par en vomir, et alors la cure est loin d'être facile. Il y a aussi des pleurésies sèches sans expectoration; elles sont difficiles (Coaque, 375); elles ont des crises semblables aux autres; mais il leur faut plus d'humidité par la boisson. Les bilieuses et les sanguines se jugent le neuvième et le onzième jour, et ces malades ont plus de chances de guérir. Si, au début, il y

vulg. — [13] δὲ om. EHK. — ὑγρασίῃσι vulg. — ὑγρασίης KLθ, Lind., Mack. — δὲ θ, Lind., Mack. — δὲ om. vulg. — πλείονος EH. — Post ἄλλων addunt τῶν FGJ. — ποταμῷ pro ποτῷ J. — [14] ἐνατ. HK. — δεκαταῖαι pro ἑνδ. θ.

ταῖαι καὶ ἑνδεκαταῖαι, [1]καὶ οὗτοι ὑγιέες μᾶλλον γίνονται. Ἢν δὲ κατ' ἀρχὰς μὲν μαλθακαί τινες ἔχωσιν ὀδύναι, ἀπὸ τῆς πέμπτης δὲ καὶ ἕκτης ὀξέαι, [2]αὗται τελευτῶσι μέχρι δυοκαιδεκάτης, καὶ οὐ μάλα ἀποθνήσκουσι· κίνδυνος δὲ μάλιστα [3]μὲν μέχρις ἑβδόμης, ἀτὰρ καὶ ἐς τὴν δυοκαιδεκάτην, μετὰ δὲ ταύτας ὑγιαίνονται. Αἱ δὲ ἐξ ἀρχῆς μὲν μαλθακαί, ἀπὸ δὲ τῆς ἑβδόμης καὶ ὀγδόης ὀξεῖαι, πρὸς τὰς τεσσαρεσκαίδεκα κρίνουσί τε καὶ ὑγιαίνονται. [4]Ἡ δὲ ἐς τὸ νῶτον πλευρῖτις τοσόνδε διαφέρει τῶν ἄλλων· [5]τὸ νῶτον ὀδυνᾶται ὡς ἐκ πληγῆς, καὶ στένει, καὶ ἀναπνεῖ ἀθρόον· εὐθὺς δὲ πτύει ὀλίγα, καὶ κοπιᾷ τὸ σῶμα· τρίτῃ [6]δ' ἢ τετάρτῃ οὐρέει ἰχῶρα ὕφαιμον· ἀποθνήσκει δὲ μάλιστα πεμπταῖος· εἰ δὲ μή [7]γε, ἑβδομαῖος· ταύτας [8]δὲ διαφυγὼν ζώει, καὶ ἡ νοῦσος ἠπίη καὶ ἧσσον θανατώδης· φυλάσσειν δὲ χρὴ μέχρι τῶν τεσσαρεσκαίδεκα· μετὰ δὲ ταῦτα ὑγιὴς γίνεται. [9]Ἐνίοις δὲ τῶν πλευριτικῶν τὸ μὲν σίαλον καθαρὸν, ἡ [10]δὲ οὔρησις αἱματώδης, οἷον ἀπὸ κρεῶν ὀπτῶν ἰχωρῶδες· ὀδύναι δὲ ὀξεῖαι διὰ τῆς ῥάχιος ἐς τὸ στῆθος καὶ ἐς τὸν βουβῶνα τείνουσιν· οὗτος τὴν ἑβδόμην διαφυγὼν [11]ὑγιαίνει. Ὁκόταν δὲ τούτων τῶν πλευριτίδων τινὶ προσγένηται τὸ νῶτον ἐρυθριᾷν, καὶ τοὺς ὤμους θερμαίνεσθαι, καὶ ἀνακαθίζοντα βαρύνεσθαι, καὶ ἡ γαστὴρ ἐκταράσσηται χλωρῷ καὶ δυσώδεϊ σφόδρα, οὗτος διὰ τὴν ὑποχώρησιν τῆς γαστρὸς εἰκοστῇ καὶ μιῇ ἀποθνήσκει· ταύτας δὲ διαφυγὼν [12]ὑγιαίνει. Οἷσι δὲ αἱ πτύσιες εὐθὺς παντοδαπαί εἰσι καὶ τὰ ἀλγήματα πάνυ ὀξέα, οὗτοι τριταῖοι [13]θνήσκουσι, ταύτας δὲ [14]διαφυγόντες ὑγιαίνουσιν· ὁ μὴ γενόμενος δὲ ὑγιὴς τῇ ἑβδόμῃ ἢ τῇ ἐννάτῃ ἢ [15]τῇ ἑνδεκάτῃ ἄρχεται ἐμπυίσκεσθαι· κρέσσον δὲ ἐμ-

[1] Ἡ pro καὶ L. – τινες om. (H, restit. al. manu) θ. – ὀξεῖαι vulg. – ὀξέαι θ. — [2] αὗται δὲ (δὲ om. θ) vulg. – δυοδεκάτης, al. manu δυοκαιδ. H. – δυωκαιδεκάτης EI. – δωδεκάτης θ. – ἀποθνήσκουσι θ. – ἀποφεύγουσι vulg. — [3] μὲν θ. – μὲν om. vulg. – μέχρι Hθ. – δυωκαιδεκάτην EI. – δωδεκάτην θ. — [4] πλευρῖτις ἐν νώτῳ (πλ. ἐν ν. om. θ)· ἡ δὲ (δ' EHK) ἐς τὸν νῶτον (τὸν ὦτον sic θ) vulg. – τόσον δὲ HK. – τόσον J. — [5] τὸν νῶτον vulg. – τὸν ὦτον θ. – ἐκ om. Lind. — [6] δ' θ, Mack. – δ' om. vulg. — [7] γε om. θ, Mack. — [8] δὲ om. FG. – ζώῃ G, Frob. – ζῇ μὲν, καὶ θ. – ἠπίη Ald., Frob. – θανώδης (sic), al. manu νατ H. – χρὴ om. EFH. – τῶν om. H. – γίνεται om., restit. al. manu H. — [9] ἐνίη EFGHIJK, Ald. – ἐνίαις δὲ τῶν πλευριτίδων θ. — [10] δ' EHK. – ἰχῶρες θ. — [11] ὑγιὴς, al. manu αἴνει H. – πλευριτικῶν Lind. – τὸν νῶτον vulg. – τὸν ὦτον θ. – ἐρυθρυᾶν K. – ἐκταράσσεται vulg. – ἐκταράσσηται E. – δυσώδει vulg. – δυσώδεϊ EHIJK. – τῆς γαστρὸς om. (H, restit. al. manu) θ. – μιᾷ EHK. — [12] ὑγιὴς, al. manu αἴνει H. – πτύσεις vulg. – πτύσιες θ. – τὰ om. J. — [13] φεύ-

a quelques douleurs modérées, devenant aiguës à partir du cinquième ou du sixième, ces cas finissent au douzième, et il n'en meurt pas beaucoup; le danger est surtout jusqu'au septième, et même jusqu'au douzième; passé ce terme, on guérit. Les pleurésies, modérées au début, mais aiguës à dater du septième et du huitième, se jugent au quatorzième et guérissent. La pleurésie dorsale diffère des autres en ceci : le dos est douloureux comme à la suite d'un coup; le malade se plaint, il respire fréquemment; d'abord il expectore peu, et il a le corps brisé de lassitude; le troisième ou le quatrième jour, il urine une humeur sanguinolente; il meurt d'ordinaire le cinquième jour; sinon, le septième; dépassant ce terme, il vit, et la maladie est modérée et moins dangereuse; mais il faut être sur ses gardes jusqu'au quatorzième jour; au delà, il guérit. Chez quelques pleurétiques, l'expectoration est pure, mais l'urine est sanguinolente et semblable à l'humeur qui provient de viandes rôties; des douleurs aiguës vont à travers le rachis à la poitrine et à l'aine; un tel malade, passant le septième jour, guérit. Quand, chez quelqu'un de ces pleurétiques, il arrive que le dos rougit, que les épaules deviennent chaudes, que, mis sur son séant, il est appesanti, que le ventre se dérange avec des selles jaunes et très-fétides, ce malade succombe le vingt et unième jour par la diarrhée; mais, passant ce terme, il guérit (Coaque, 374). Ceux chez qui dès l'abord l'expectoration est de toute nature et la souffrance très-aiguë, meurent le troisième jour; mais, passant ce terme, ils guérissent; celui qui n'entre pas en convalescence le septième ou le neuvième ou le onzième, est au début d'une suppuration (Coaque, 373); il vaut mieux suppurer; cela en effet

γοσι (sic) pro θνήσκουσι θ. — [11] διαφυγὼν ὑγιὴς θ. – ὑγιέες pro ὑγιαίνουσιν EHQ'. – ὑγιέες γίνονται Lind. – ὁ om. (K, restit. al. manu) θ. – μὴ δὲ γεν., al. manu μὴ γεν. δὲ H. – ὁ δὲ μὴ γεν. Lind. – γίν. J. – ἐνατ. HK. — [15] τῇ om. θ. – δεκάτῃ vulg. – ἑνδεκάτῃ Lθ, Foes in not., Lind., Mack. – κρεῖσσον vulg. – κρέσσον EHK. – ἐμπυῆσαι· ἧσσον γὰρ θανατῶδες, κἂν ἐπίπονον ᾖ vulg. – ἐμπυῆσαι, κἂν ἐπίπονον ᾖ· ἧσσον γὰρ θανατῶδες Lind. – ἐμπυῆσαι· ἧσσον γὰρ θανατῶδες, ἐπίπονον δὲ EHKP'Q'θ.

πυῆσαι· ἧσσον γὰρ θανατῶδες, ἐπίπονον δέ. Πρὸς [1] δὲ τοῖσι σημηΐοισι τοῖσιν εἰρημένοισιν ἐν ἑκάστῃ τῶν πλευριτίδων καὶ τάδε χρὴ σκοπέεσθαι τὴν [2] γλῶσσαν· πομφόλυγος γὰρ ὑποπελίδνου γινομένης ἐπὶ τῆς γλώσσης, οἷα σιδηρίου βαφέντος εἰς ἔλαιον, [3] εἰ μὲν ἐν ἀρχῇ γένοιτο τρηχείη, χαλεπωτέρη ἡ ἀπάλλαξις τῆς νούσου, καὶ ἀνάγκη αἷμα ἀποβῆξαι ἐν τῇσιν ἡμέρῃσιν, ἐν ᾗσι δεῖ· εἰ δὲ [4] καὶ προκεχωρηκυίης τῆς νούσου γένοιτο, αἱ μὲν κρίσιες ἐς τὴν τετάρτην καὶ δεκάτην ἡμέρην, ἀνάγκη δὲ πτύσαι αἷμα. Ἔχει δὲ [5] ὧδε περὶ τῆς ἀπαλλάξιος· εἰ μὲν τριταίῳ ἄρχοιτο πεπαίνεσθαι καὶ πτύεσθαι, θάσσους αἱ ἀπαλλάξιες· εἰ [6] δὲ ὕστερον πεπαίνοιτο, ὕστερον καὶ αἱ κρίσιες γίνονται, ὡς ἐν τοῖσι τῆς κεφαλῆς σημηΐοισι. Τὰ δὲ ἀλγήματα τὰ ἐν ἁπάσῃσι τῇσι πλευρίτισιν [7] ὡς ἐπιτοπουλὺ κουφίζει μεθ' ἡμέρην μᾶλλον ἢ νύκτωρ. Θεραπεύειν δὲ χρὴ τὰς πλευρίτιδας οὕτως· τὰ μὲν [8] πολλὰ ὡς τὴν φρενῖτιν καὶ περιπλευμονίην, πλὴν λουτροῖσι χρῆσθαι θερμοῖσι καὶ οἴνοισι γλυκέσιν. Ἢν μὲν οὖν τῇ πρώτῃ ἢ τῇ ἐπιούσῃ λάβῃς τῆς [9] ἐπιλήψιος, ἢν μὲν ὑπελήλυθῃ ἡ κόπρος καθαρὴ ἢ ἀτρέμα χολώδης καὶ ὀλίγη, ὑποκλύσαι θαψίῃ· ἢν δὲ [10] κινηθεῖσα ἡ κοιλίη τὴν μὲν νύκτα χαλάσῃ, τῇ [11] δὲ ὑστεραίῃ ὀδύνη καὶ στρόφος ἔχῃ, πάλιν ὑποκλύσαι. Ἢν δὲ ὁ κάμνων χολώδης ᾖ τῇ φύσει καὶ ληφθῇ τῇ νούσῳ ἀκάθαρτος ἐὼν, πρὶν ἀναπτύεσθαι τὸ σίαλον χολῶδες, καὶ τῷ φαρμάκῳ καθῆραι χολὴν εὖ· [12] ἐκπτύοντι δὲ ἤδη χολωδεα μὴ δίδου τὸ φάρμακον· ἢν γὰρ δῷς, τὸ πτύσμα οὐ δυνήσεται ἄνω ἀντέναι, ἀλλ' ἑβδομαῖος ἢ ἐνναταῖος ἀποπνιγήσεται· [13] ἢν δὲ πρὸς τῇσιν ἐν τῇσι πλευρῇσιν ὀδύνῃσι καὶ τὰ ὑποχόνδρια ἀλγέῃ, ὑπο-

[1] Δὲ om. θ. – σημείοισι vulg. – σημηΐοισι EHK. — [2] γλῶτταν vulg. – γλῶσσαν EHIJK, Mack. – πομφόλιγος JK. – πομφ.... ἔλαιον om. θ. – ὑπὸ pro ἐπὶ J. – ἐς Lind. — [3] εἰ EHK. – ἢν vulg. – γίνοιτο EHIJK. – τρηχεῖα vulg. – τρηχεία I. – τρηχείη Kθ, Mack. — [4] καὶ om. θ. – προκεχωρηκύης IJ. – ἡμέραν vulg. – ἡμέρην EHIJK, Mack. — [5] ὧδε EHKθ. – οὕτως vulg. – θάττους vulg. – θάσσους E, Mack. — [6] δ' E. – πεπαίνοι τὸ ὕστερον θ. – τῆς om. J. — [7] πολλὸν pro ὡς ἐπιτ. θ. – ἐπὶ τὸ πολὺ EHK. – ὧδε (H, al. manu οὕτως) θ. — [8] πουλὰ GJ. – πουλλὰ I, Ald., Frob. – ἐς τὴν πλευρῖτιν pro ὡς τὴν φρ. θ. – πλευρῖτιν pro φρ. EQ', Lind. – καὶ τὴν περ. EGIK. – περιπν. K. – Post λουτροῖσι addit τε θ. — [9] λήψιος θ. – ἐπελήλυθη EGHIJK, Ald. – ἡ om. E. — [10] Post κιν. addit ἢ λυθεῖσα θ. — [11] δ' EHK. – ἔχει K. — [12] πτύοντι θ. – δὼς J. – δοῖς θ. – ἐναταῖος H. — [13] Ante ἢν addit ἢν (ἐαν EHK) μᾶλλον (μᾶλλον om., restit. al. manu H) καὶ τὰ ὑποχόνδρια ἀλγέῃ (ἢν μ. καὶ τὰ ὑ. ἀλγέῃ om. θ) vulg. – Quand on considère ce membre de phrase après la suppression de μᾶλλον indiquée

est moins dangereux, mais fort pénible. Outre les signes susdits, il faut, dans chacune des pleurésies, considérer aussi la langue : une bulle sublivide se formant sur la langue comme celle que forme un fer plongé dans de l'huile, si la langue devient rugueuse au début, la solution est plus difficile, et nécessairement du sang est expectoré dans les jours où cela doit arriver; si la langue devient rugueuse à une époque avancée de la maladie, les crises vont au quatorzième jour et nécessairement du sang est expectoré (Coaque, 378). Voici ce qu'il en est pour la solution : si au troisième jour commencent la maturation et l'expectoration, la solution est plus prompte; si la maturation commence plus tard, les crises viennent plus tard (Coaque, 379), comme dans les signes relatifs à la tête. Les souffrances, dans toutes les pleurésies, sont d'ordinaire moins pénibles le jour que la nuit. On traitera ainsi les pleurésies : en général, le traitement sera comme pour la phrénitis et la péripneumonie, sauf qu'on usera de bains chauds et de vins doux. Si donc vous prenez une pleurésie le premier jour ou le lendemain de l'invasion, dans le cas où il y a eu des selles non mélangées ou légèrement bilieuses et peu abondantes, on donnera un lavement avec la thapsie. Si le ventre mis en mouvement est relaché la nuit, et que le lendemain il y ait douleur et tranchée, on recommencera le lavement. Si le malade est naturellement bilieux et qu'il soit pris de la maladie ayant le corps impur, il faut, avant que l'expectoration devienne bilieuse, administrer un bon cholagogue. Mais, quand l'expectoration est déjà bilieuse, ne donnez pas le purgatif; car, si vous le donnez, l'expectoration ne pourra pas procéder, et il succombera suffoqué le septième jour ou le neuvième. Dans le cas où, indépendamment des douleurs de côté, les hypocondres sont

par H, on ne peut qu'y voir un titre, supprimé avec raison par θ. – ἢν δὲ πρὸς.... ἀλγέῃ om., restit. al. manu cum εἰ E. – ταύτῃσι τῆσι (τῆς GJ; τῆς sic I) pro τῆσιν ἐν τῆσι πλευρῆσιν FGIJL. – πρὸς τῇ (sic) ἐν τῆσι πλευρῆσιν ὀδύνῃσι, al. manu πρὸς ταύτῃσι τῆσιν ὀδύνῃσιν H. – ταῦτα pr πὰ H. – τε pro δεῖ EHK. – νήσσει δοῦναι θ. – ὕσωπον HIJ. – μήκωνα GJ, A .

κλύσαι δεῖ, καὶ πιέειν δοῦναι νήστει ἀριστολοχίαν καὶ ὕσσωπον καὶ κύμινον καὶ σίλφιον καὶ μήκωνα λευκὴν καὶ ἄνθος χαλκοῦ καὶ μέλι καὶ ὄξος καὶ ὕδωρ. Πρὸς μὲν τὰ φάρμακα [1]οὕτω δεῖ ποιέεσθαι τὰς θεραπείας τὰς πρώτας· τὰ δ' ἄλλα ὧδε ἔχει· λούειν πολλῷ θερμῷ [2]πρὸς τὴν δύναμιν τοῦ κάμνοντος, πλὴν τῆς κεφαλῆς, καὶ ὁκόταν αἱ κρίσιες ὦσι, τὰ ὀδυνώμενα χλιαίνειν ὑγρῇσι πυρίῃσιν ὑπαλείφων ἐλαίῳ. [3]Ὁκόταν δὲ καταιγίζωσιν αἱ νοῦσοι, ἡσυχάζειν καὶ τὸν κάμνοντα καὶ τὸν ἰητρὸν τῇσι θεραπείῃσιν, [4]ὅκως μὴ κατεργάσηταί τι κακόν· πτισάνης δὲ χυλὸν κάθεφθον διδόναι, ὀλίγῳ παχύτερον, μελιχροποιέων. Μετὰ δὲ τὰ λουτρὰ καὶ οἶνον [5]γλυκὺν ὑδαρέα προπίνειν, μὴ ψυχρὸν, ὀλίγον ἐκ βομβυλίου οὐκ εὐρυστόμου· καὶ [6]ὁκόταν βῆχες ἐπίωσιν, ἐπιπίνειν καὶ χρέμπτεσθαι ὡς μάλιστα, καὶ τῷ ποτῷ ὑγραίνειν, ἵνα ὁ [7]πλεύμων ὑγρότερος ἐὼν ῥᾷον καὶ θᾶσσον ἀποδιδῷ τὸ πτύσμα καὶ ἡ βὴξ [8]ἧσσον πονέῃ· καὶ ῥοιῆς δὲ γλυκείης ἢ οἰνώδεος χυλὸν, γάλακτι αἰγείῳ ὀλίγῳ καὶ μέλιτι μιγνὺς, κατὰ σμικρὸν πολλάκις δίδου νύκτωρ τε καὶ μεθ' ἡμέρην· καὶ ὕπνον [9]δ' ὡς μάλιστα διακωλύειν, ἵνα κάθαρσις γένηται θάσσων τε καὶ πλείων. Τὴν [10]δὲ αἱματώδεα πλευρῖτιν θεραπεύειν χρὴ οὕτως· μετὰ δὲ τὰς κρίσιας ἀνακομίζειν σιτίοισι κούφοισι, καὶ ἡσυχάζειν, καὶ φυλάσσεσθαι περισσῶς ἡλίους, ἀνέμους, πλησμονὰς, ὀξέα, ἁλυκὰ, λιπαρὰ, [11]καπνὸν, φύσας τὰς ἐν τῇ κοιλίῃ, πόνους, λαγνείας· ἢν γὰρ ἡ νοῦσος ὑποτροπιάσῃ, θάνατος ἕψεται. Ἐν δὲ τῇσι πτύσεσιν, ἢν ὀδύνη τε ἔχῃ καὶ μὴ δύνηται ἀποπτύειν, νήστει δίδου ἄνθος χαλκοῦ ὅσον [12]κοτινάδα,

[1] Οὕτῶ (sic) E. — [2] πρὸς δύναμιν τὴν τοῦ EHK. – τῆς om. EHJK. – ὁπόταν EHK. – εἰσὶ GHIJK. – ὑγροῖσι IJ. — [3] ὁπ. EHK. – κατεγίζωσιν θ. – καταιγίζουσιν G, Ald., Frob. – ἰατρὸν IJ. – θεραπίῃσι HK. — [4] ὅπ. EHK. – ἐξεργάσηται θ. – πτισσ. E. – κάτεφθον vulg. – κάθεφθον HK, Lind., Mack. – κάκεφθον (sic), al. manu κάθεφθον E. – μελιχρον ποιέων θ. — [5] γλυκὺν καὶ (καὶ om. FGJθ· ὑδ. vulg. – ὀλίγον δὲ ἐκ Lind. – βρομβυλίου, al. manu βομβ H. – Erot. Gl., p. 104 : βομβυλίου, ἔστι μὲν τὸ βομβύλιον εἶδος μελίσσης· σημαίνει δὲ καὶ τὸν αὐλήτην παρὰ τὸ τοῖς αὐλοῖς βομβεῖν. Ἔστι δὲ καὶ βυκίου εἶδος στενοστόμου. Gal. Gl. : βομβύλιον, ἐκπωμά τι στενὸν ἔχον τὸ στόμα ἢ πῶμα, παρὰ τὸ βομβεῖν ὠνομασμένον. – οὐκ (οὐκ om. vulg.) εὐρ. Mack. – οὐκ est clairement exigé par les gloses d'Érotien et de Galien, et tous les traducteurs ont rétabli la négation. — [6] ὁκ. HK. – ὁκόσον E. – ἐπίασιν (E, al. manu ἐπίωσι) K', Mack. – ἐπιᾶσιν Q', Lind. – πρώτω pro ποτῷ J. — [7] πν. EGHJK. – ὢν EHJK. – ῥηιδίως καὶ θᾶσσον ἀποδίδοι θ. — [8] ἴσον H. – πονέει EK. – ἢ EH IJKLθ, Lind. – ἢ om. vulg. – γάλατι (sic) IJ. – μικρὸν vulg. – σμικρὸν θ, Mack. – δὲ pro τε Jθ, Mack — [9] δ' HKθ. – δ' om. vulg. – θάσσων (θᾶσσόν E)

douloureux, il faut prescrire un lavement et donner à boire à jeun aristoloche, hysope, cumin, silphion, mécon blanc (*euphorbia peplus*), fleur de cuivre, miel, vinaigre et eau Voilà, quant aux médicaments, comment il faut appliquer les premiers secours; quant au reste, voici ce qu'il faut faire : on lavera avec beaucoup d'eau chaude, selon la force du malade, excepté la tête; et quand les crises sont là, on échauffe avec des fomentations humides les parties douloureuses que l'on oint avec de l'huile. Quand les maladies sont au summum, il faut que le malade se tienne en repos, ainsi que le médecin pour les remèdes, afin de ne pas faire quelque mal. On donnera la décoction d'orge très-cuite, assez épaisse, avec addition de miel. Après les bains, on donnera aussi du vin doux, coupé, non froid, en petite quantité, le malade le boira avec un vase à goulot étroit. Quand la toux est active, boire et expectorer autant que possible; humecter par la boisson, afin que le poumon, étant humide, laisse sortir plus facilement et plus vite l'expectoration et afin que la toux soit moins pénible. Prenez le jus d'une grenade douce ou vineuse, mêlez-y un peu de lait de chèvre et de miel, et faites-en boire souvent et peu à la fois la nuit et le jour. Empêchez le sommeil autant que possible, pour que la mondification soit plus active et plus abondante. La pleurésie sanguine sera traitée ainsi; et, après les crises, on restaurera avec des aliments légers; le malade se tiendra en repos, et se gardera soigneusement du soleil, du vent, de la réplétion, des acides, des choses salées, grasses, de la fumée, des flatuosités abdominales, des fatigues, du coït; car, si la maladie récidive, elle sera mortelle. Pour l'expectoration, si le malade souffre et ne peut cracher, il prendra à jeun de la fleur de cuivre gros comme une olive

τε καὶ πλείων EHK. – θᾶσσόν τε καὶ πλεῖον vulg. — [10] δ' HK. – ὧδε sine χρὴ HKQ'. – οὕτω sine χρὴ θ, Mack. – ὧδε Lind. – δὴ Lind. – δὲ om. θ, Mack. – ἀνωλοιμίζειν (sic) E. — [11] καπνὸν om. K. – ἡ νοῦσος om. (H, restit. al. manu) θ. – ἀποθνήσκει (H, al. manu θάνατος ἕψεται) θ. — [12] μοτινάδα (E, al. manu κο) F (H, al. manu) JK. – ἀπὸ pro ὁποῦ θ. – σιλφίου τούτου (τεύτου om., H restit. al. manu, θ) τὸ (τὸ om., H restit. al. manu, θ) ἥμισυ vulg.

καὶ ὀποῦ σιλφίου ἥμισυ, καὶ τριφύλλου καρποῦ ὀλίγον ἐν μέλιτι λείχειν· ἢ [1]πεπέρεος κόκκους πέντε καὶ ὀποῦ σιλφίου ὅσον κύαμον, καὶ μέλι καὶ ὄξος καὶ ὕδωρ πίνειν χλιαρὸν νήστει δίδου· τοῦτο καὶ τὰς ὀδύνας παύει. [2]Ἢν δὲ μὴ δύνηται πτύειν κατὰ λόγον, ἀλλ' ἐνίσχηται [3]αὐτῷ καὶ ῥέγχῃ ἐν τοῖσι στήθεσιν, ἄρου τοῦ μεγάλου ῥίζης χηραμίδα καὶ ἔλαιον σὺν μέλιτι μίξαι, ἐπιῤῥοφεῖν δὲ ὄξος κεκρημένον. [3]Ἄλλο ἰσχυρόν· ἄνθος χαλκοῦ ὅσον κύαμον καὶ νίτρον ὀπτὸν διπλάσιον καὶ ὕσσωπον ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, μέλιτι μίξας, καὶ ὕδωρ καὶ ἔλαιον μικρὸν ἐπιστάξας, χλιάνας [4]ἐν χηραμίδι, ἐγχέειν ἵνα μὴ ἀποπνιγῇ. Καὶ ἐν περιπλευμονίῃ, ἢν μὴ καθαίρηται, τοῦτο δεῖ ποιέειν. [5]Ἢν δὲ μήτε ῥέγχῃ μήτε πτύῃ ὡς δεῖ, [5]καππάριος καρποῦ ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, καὶ πέπερι καὶ νίτρον ὀλίγον καὶ μέλι καὶ ὄξος καὶ ὕδωρ μίξας τοῦτο χλιαρὸν ἐπιῤῥοφεῖν· τὴν δὲ ἄλλην ἡμέρην [6]ὕσσωπον ἐν ὄξει καὶ μέλιτι καὶ ὕδατι ἀναζέσας ἐπιῤῥοφεῖν. Τοῦτο καὶ τοῖσι ῥέγχουσι διδόναι καὶ μὴ δυναμένοισι καθαίρεσθαι. Εἰ [7]δὲ ἰσχυρότερον βούλοιο ποιέειν, ὑσσώπου καὶ νάπυος καὶ καρδάμου κόγχην [8]ἢ χηραμίδα τρίψας ἐν μέλιτι καὶ ὕδατι, καὶ ἀναζέσας, καὶ διηθήσας, ἐπιῤῥοφεῖν [9]χλιαρὸν δίδου. Οὕτω ταῦτα τὰ νουσήματα θεραπευθέντα ὑγιέα γίνεται, ἢν μή τι τοῦ πτύσματος ὑπολειφθὲν ἐν τῷ [10]πλεύμονι πῦος γένηται, ὑφ' οὗ βήσσουσι ξηρὰ βηχία, καὶ πῦρ καὶ ῥῖγος ἴσχει, καὶ ὀρθοπνοίη ἔχει, καὶ πυκνὸν καὶ ἀθρόον ἀναπνεῖ, καὶ ἡ φωνὴ βαρυτέρη ὀλίγῳ, καὶ εὐχροίη σὺν τῇ θέρμῃ τὸ πρόσωπον ἴσχει· προϊόντος δὲ τοῦ χρόνου, μᾶλλον [11]καὶ ἡ νοῦσος σάφα δηλοῦται. Τοῦτον εἰ ἐντὸς τῶν δέκα ἡμερέων λάβοις,

[1] Πεπέρεως EGIJK, Mack. — [2] ἐν (ἐν om. θ) αὐτῷ vulg. – ῥέγχει K. – χηραμύδα HIK. – μίξας K. – ἐπιῤῥοφῆν G, Ald., Frob. — [3] ἄλλο ἰσχ. om. P'. – λίτρον θ. – ὀπτὸν om. Lθ. – ὕσωπον HIJ. – σμικρὸν Mack. — [4] ἐν om. Lind. – χηραμύδι HIK. – ἀποπνιγῇ Frob. – περιπν. K. – θαίρηται (sic), al. manu καθαίρηται H. – δεῖ om. (H, restit. al. manu) P'θ. – ἐγχέειν pro ποιέειν EHK P'θ. — [5] καπάριος GI. – λίτρον θ. – ὀλίγον om. θ. — [6] ὕσσωπον θ. – ὕσσ. om. vulg. — [7] δ' EHK. – βούλοι τὸ ποιέειν (sic) θ. – ὑσώπου HIJ. — [8] ἢ om. Lind., Mack. – χηραμύδα HI. – Erot. Gl., p. 394 : χηραμίδα, τὴν κοίλην κόγχην, ἣν μύακα καλοῦμεν. Παρὰ τὸν Χηραμὸν δ' εἴρηται, ὅσπερ ἐστὶ κοῖλος τόπος. Ὡς καὶ Νίκανδρος ἐν Θηριακοῖς φησι, Τοῖς δὴ χηραμὰ κοῖλα καὶ ὑληωρέας εὐνάς. Gal. Gl. : κόγχην, κεραμίδα· οὐδὲν πλέον δηλοῖ τῆς κεραμίδος. D'après cette glose de Galien, qu'il lit κόγχην χηραμίδα, οὐδὲν κτλ., Foes tire la conséquence qu'un peu plus haut (voy. p. 142, n. 1) la leçon est bonne. — [9] δίδου χλιαρὸν E. – νοσ. EHJK. – ὑγιὰ (sic) θ. – γίνεται HK. – γίνονται vulg.

sauvage, moitié autant de suc de silphion, et un peu de graine de trèfle (*psoralera bituminosa*, *L.*, *d'après Fraas*, *p.* 62), en éclegme dans du miel, ou cinq grains de poivre, gros comme une fève de suc de silphion, miel, vinaigre, eau, à boire chaud à jeun; ce moyen apaise aussi les douleurs. Si le malade ne peut expectorer convenablement, si les matières s'arrêtent et qu'il y ait râlement dans la poitrine, prenez plein une coquille de la racine du grand arum, mêlez de l'huile et du miel, et par-dessus faites prendre du vinaigre coupé. Autre moyen énergique : fleur de cuivre, gros comme une fève; nitre cuit, le double; hysope, une pincée; mêlez avec du miel, versez un peu d'eau et d'huile, chauffez dans une coquille, infusez (*voy. p.* 5), afin que le malade ne soit pas suffoqué. Dans la péripneumonie aussi, si la poitrine ne se purge pas, employez le même moyen. Au cas où, sans avoir de râlement, le malade ne crache pas convenablement, prenez une pincée de câpres, du poivre, un peu de nitre, mêlez du miel, du vinaigre et de l'eau, et faites boire cela chaud; le reste du jour, il prendra de l'hysope bouilli dans du vinaigre, du miel et de l'eau; cela se donne aussi à ceux qui râlent et dont la poitrine ne peut se purger. Si vous voulez rendre la préparation plus active, pilez plein une coquille d'hysope, de moutarde et de cresson dans du miel et de l'eau, faites bouillir, filtrez, et donnez à prendre chaud. C'est traitées de la sorte que ces maladies guérissent, à moins que l'expectoration ne laisse dans le poumon un reliquat qui devienne du pus. D'une telle terminaison naissent des toux sèches, de la fièvre, du frisson, de l'orthopnée; la respiration est fréquente et pressée; la voix est un peu plus grave; au moment de la chaleur fébrile, le visage est bien coloré. Au bout d'un certain temps, la maladie se montre davantage et nettement. Si vous prenez un tel malade dans les dix premiers jours, vous l'échaufferez par le régime et le bain

— [10] πν. EGHJK. – πῦον Θ, Mack. – ὀρθοπνοῖ Θ. – πυκινὸν Θ. – χροίη vulg. – εὐχροίη Θ, Mack. — [11] καὶ om. J. – σαφῆς (sic) Θ. – ἡμερῶν vulg. – ἡμερέων EHIJKΘ, Lind., Mack. – λάβῃς vulg. – λάβοις HK. – εἰς E.

θερμήναντα χρὴ διαίτῃ καὶ λουτρῷ θερμῷ ἐγχέαι ἐς τὸν [1]πλεύμονα ὅ τι πῦον ἄξει, καὶ τοῖσιν ἄλλοισι χρῆσθαι τοῖσι τὸ πῦον ἄγουσι, καὶ διαιτᾶν ὡς ἔμπυον, καὶ τὴν κεφαλὴν ἀποξηραίνειν, ἵνα μὴ ἐπιῤῥέῃ. [2]Ἢν δ' ἐν τῷ ἐγχύτῳ μὴ σήπηται καὶ ἀνάγηται τὸ πῦον, ῥήγνυται αὐτῷ ἐκ τοῦ [3]πλεύμονος ἐς τὸν θώρηκα, καὶ μετὰ [4]τὴν ῥῆξιν δοκέει ὑγιὴς εἶναι, ὅτι ἐκ τῆς στενοχωρίης ἐς τὴν εὐρυχωρίην ἦλθε τὸ πῦον, καὶ τὸ πνεῦμα ὃ ἀναπνέομεν ἕδρην ἔσχεν ἐν τῷ [5]πλεύμονι· προϊόντος δὲ τοῦ χρόνου, τὰ στήθεα πύου πληροῦται, καὶ [6]αἱ βῆχες καὶ οἱ πυρετοὶ καὶ τἆλλα ἀλγήματα πάντα μᾶλλον πιέζει αὐτὸν, καὶ ἡ νοῦσος διαδηλοῦται. Τοῦτον μετὰ τὴν ἔκρηξιν ἑᾶσαι δεῖ ἡμέρας πεντεκαίδεκα, [7]ὅκως πάλιν πεπανθῇ τὸ πῦον· ἅτε γὰρ ἐς εὐρυχωρίην ἐλθὸν ἀνέψυξέ τε καὶ τὸ ὑπάρχον ὑγρὸν ἐν τῷ θώρηκι προσηγάγετο πρὸς ἑωυτὸ, [8]ὥστε αὐτὸ ἡμισαπὲς εἶναι. [9]Ἢν μὲν οὖν αὐτόματον ἄρξηται πτύεσθαι ἐν τούτῳ τῷ [9]χρόνῳ, ἢ φαρμάκοισι τιμωρέειν ἢ ποτοῖσιν, [10]ἐν δὲ τῇσι τελευταίῃσιν ἡμέρῃσι τῶν ἡμερέων τῶν πεντεκαίδεκα σπεύδειν ἀναστῆναι πρὶν μᾶλλον τρύχεσθαι τὸ σῶμα, φυλάσσων τὴν κεφαλὴν καθαρὴν τῶν ἐπιῤῥοῶν εἵνεκεν. [9]Ἢν δὲ μὴ πτύηται, [11]ἀποσημήνῃ δὲ ἐς τὰς πλευρὰς, ταμέειν ἢ καῦσαι. [9]Ἢν δὲ μήτε πτύηται μήτε [12]ἀποσημήνῃ ἐς τὰς πλευρὰς, λούσας πολλῷ καὶ θερμῷ [13]νῆστιν καὶ ἄποτον, καθίσας ἐπὶ ἕδρης ἀκινήτου, ἕτερος [14]μὲν τῶν ὤμων ἀναλαβέτω, αὐτὸς δὲ σεῖε τοῦτον, τὸ οὖς παραβάλλων πρὸς τὰς πλευρὰς, ἵν' εἰδῇς ὁκοτέρωθεν ἀποσημαίνει· βούλου δὲ μᾶλλον πρὸς τὰ

[1] Πν. GHJK. – διαιτᾶν ὧδε (ὧδε om. EIQ'θ, Lind., Mack) ὡς (ὡς om. J) vulg. — [2] δὲ τῷ vulg. – δ' ἐν τῶ EHKQ'θ, Mack. – σήπηται καὶ θ, Mack. – σήπηται καὶ om. vulg. – αὐτὸ vulg. – αὐτῶ H. — [3] πν. EGHIJK. – εἰς vulg. – ἐς EHK. – θώρακα EHK. — [4] τὴν om. FGJ. – εἰς vulg. – ἐς EHK, Lind. – εὐρυχωρίην EHIK, Mack. – εὐριχωρίην I. – εὐρυχωρίαν vulg. – πύος, al. manu ον H. – ῶ pro ὃ EHθ. — [5] πν. GIJK. – πύους HIJ. – πληροῦνται vulg. – πληροῦται EFHJKLθ. — [6] αἱ θ. – αἱ om. vulg. – οἱ θ. – οἱ om. vulg. – τὰ ἄλλα HK. – μᾶλλον πάντα G, Ald. – πιέζῃ E. – αὐτὸν om. θ. – ἑᾶσαι δὲ καὶ πέντε ἡμέρας θ. – δεκαπέντε ἡμέρας EHK. — [7] ὅπ. EHK. – εἰς vulg. – ἐς EHIK. – ἐλθὸν (ἐλθὼν J) τὸ πῦον (τὸ π. om. FGIJθ) ἀνέψυχέ (ἀνέψυξέ EHQ'θ, Lind., Mack) τε (ἀνέψυξέται sic K) vulg. – θώρηκι HIJ. – θώρακι vulg. – ἑωτὸ (sic) K. — [8] ὥστε καὶ αὐτὸ K. — [9] Post χρόνῳ addit λείπει L. – χρόνῳ, ἢν (addunt δὲ Lind., Mack) μὴ, φαρμάκοισι τιμωρέειν ἢ ποτοῖσιν vulg. – χρόνω ἢ φαρμάκοισι ἢ ποτοῖσιν θ. – Je prends la leçon de θ, en gardant τιμωρέειν. — [10] ἐν [δὲ] τῇσι Lind. – La correction de Lind. me paraît très-bonne. – τοῖσι J. – τελευταίοισιν GIJK. – τελευτέησι H. – ἡμέροισι J. – σπεύδειν δ' ἀναστῆναι Mack. – καθαρὰν E. – εἵνεκα vulg. – εἵνεκεν θ, Mack. — [11] Ante ἀπ. addunt

chaud, et vous infuserez dans le poumon ce qui fait sortir le pus; vous userez de tous les autres moyens qui ont cette propriété. Son régime sera celui des empyématiques. Vous dessécherez la tête afin que rien n'en découle. Si l'infusion faite dans le poumon ne mûrit ni n'amène le pus, l'abcès se fait jour du poumon dans la poitrine; après cette éruption, le malade paraît guéri, parce que le pus est passé d'un lieu étroit en un lieu large, et que l'air que nous respirons trouve à se loger dans le poumon. Mais, avec le temps, la poitrine se remplit de pus; la toux, les fièvres et toutes les autres souffrances accablent le malade plus que jamais, et la maladie devient manifeste. Après cette éruption, on laissera en repos le malade pendant quinze jours, afin que le pus mûrisse de nouveau; en effet, arrivant dans un lieu large, le pus s'est refroidi et a réuni à soi le liquide préexistant dans la poitrine, de sorte qu'il n'est plus qu'à une demi-maturation. Si donc, dans cet intervalle, le malade commence à expectorer spontanément, on secondera ce mouvement soit par les remèdes, soit par les boissons, et, dans les derniers de ces quinze jours, on se hâtera de le lever avant qu'il soit exténué davantage, maintenant la tête mondifiée à cause des écoulements. S'il ne crache pas, mais qu'il y ait des signes au côté, on incisera ou cautérisera. S'il n'y a ni expectoration ni signes au côté, on lavera, avec beaucoup d'eau chaude, le malade qui n'aura ni mangé ni bu, on l'assoiera sur un siége immobile, un aide le prendra par les épaules, et vous, secouez-le, appliquant l'oreille à la poitrine, afin de reconnaître de quel côté est le signe. Souhaitez de préférence que ce soit à gauche; car il est plus

μήτε (E, obliter. al. manu) FG (K, punctis notatum). – ἀποσημαίνηται vulg. – ἀποσημαίνεται K. – ἀποσημήνη θ. – δὲ om., restit. al. manu E. – δ' ἐς θ. – πρὸς pro ἐς I. – ταμέειν.... πλευρὰς om., restit. al. manu cum ἐς τὰς πλευρὰς ἀποσημαίνηται E. – καύσειν GI. — [12] ἀποσημαίνηται vulg. – ἀποσημήνη θ. – λοῦσαι θ. – καὶ om. JL. — [13] Ante νῆστιν addit καὶ θ. — [14] μὲν EHKθ. – δὲ pro μὲν vulg. – σειέτω K. – τοῦτον om. (H, restit. al. manu) θ. – πρὸς EHIKLQθ, Lind. – ἐς vulg. – ἢν pro ἵν' H. – ἰδῆς HK. – ὁποτέρωθεν EGHIJK, Ald. – πρὸς τὰς ἀριστερὰς FGHIKLθ, Lind.

ἀριστερά· θανατωδέστερον γὰρ [1]καίειν καὶ τάμνειν πρὸς τὰ δεξιά· ὁκόσῳ [2]γὰρ ἰσχυρότερά ἐστι τὰ δεξιὰ, τόσῳ καὶ τὰ νουσήματα ἐν αὐτοῖσιν ἰσχυρότερα δείκνυται. [3]Ἢν δὲ ὑπὸ πάχεος τὸ ὑγρὸν μὴ κλυδάζηται, μηδὲ ψόφος ᾖ ἐν τῷ στήθεϊ, πυκνὸν δὲ ἕλκῃ τὸ πνεῦμα καὶ οἱ πόδες ἐποιδέωσι, καὶ βήχιόν τι προσῇ, μὴ ἐξαπατάτω, ἀλλ' εὖ ἴσθι πλήρη ἐόντα τὸν θώρηκα πύου· [4]ἐς οὖν ἑρετριάδα γῆν ὑγρὴν καὶ λείην τετριμμένην καὶ χλιαρὴν ἐπιβάψας ὀθόνιον λεπτὸν, περικάλυψον κύκλῳ τὸν θώρηκα, καὶ [5]ὅκου ἂν πρῶτον ξηραίνηται, ταύτῃ χρὴ τάμνειν ἢ καίειν ὡς ἐγγυτάτω τῶν φρενῶν, φυλασσόμενος [6]αὐτῶν τῶν φρενῶν. [7]Ἢν δὲ βούλῃ, ἀλείψων τῇ ἑρετριάδι, σκόπει ὁμοίως ὡς ἐν τῷ ὀθονίῳ, πολλοὶ δὲ ἅμα ἀλειφόντων, ἵνα μὴ τὰ πρῶτα ἀλειφόμενα ἀποξηραίνηται. Μετὰ δὲ τὴν τομὴν ἢ τὴν [7]καῦσιν τῷ μοτῷ τῷ ἐκ τοῦ ὠμολίνου χρῶ, καὶ ἐξίει κατ' ὀλίγον τὸ πῦον. [8]Ὁκόταν δὲ μέλλῃς τάμνειν ἢ καίειν, ὑποσημαίνου τωὐτὸ σχῆμα ἔχοντα, ὅπερ ἂν μέλλῃς ἔχοντα καίειν ἢ τάμνειν, ἵνα μὴ ἐξαπατήσῃ ἀνωτέρω γενόμενον ἢ κατωτέρω τὸ δέρμα, ἐν τῇ μεταβολῇ τοῦ σχήματος· καὶ τὰς [9]βῆχας φυλάσσειν ἐκ τῆς διαίτης, ὅκως μὴ ἀντισπάσουσι πάλιν ἐς τὸν πλεύμονα τὸ πῦον, κακὸν γὰρ, ἀλλ' ὡς τάχιστα [10]ὑποξηραίνεσθαι· ἐπειδὰν δὲ δωδεκαταῖος ᾖ, ἅπαν ἀφιέναι τὸ λοιπὸν πῦον, καὶ ἀπὸ τοῦ ὀθονίου μοτοῦν, καὶ ἀφιέναι διὰ τῆς ἡμέρης τὸ πῦον, καὶ τὴν ἄνω κοιλίην ἐκ [11]τῆς διαίτης ὡς μάλιστα ξηραίνειν. Ὧδε χρὴ καὶ τὰς ἐκ τῶν τρωμάτων [12]καὶ ἐκ περιπλευμονίης καὶ ἐκ καταῤῥοῶν μεγάλων ἐκπυήσιας, [13]καὶ

[1] Καίειν καὶ τάμνειν πρὸς τὰ δεξιὰ EHK (θ, ἐς τὰς δεξιάς). – πρὸς τὰ δεξιὰ καίειν ἢ (καὶ pro ἢ Q') τάμνειν vulg. – ὁπόσῳ GHIJK, Ald. — [2] γὰρ αὐτὰ (αὐτὰ om. θ) vulg. – νοσ. EHK. – ἐν om. θ. – γίνεται EHKθ. — [2] εἰ GI, Ald. – πάχυος (sic) GIJ. – πύον pro ὑγρὸν θ, (Mack, πῦον). – μηδὲ ψοφεῖ ἐν θ. – μήτε ψοφεῖ ἢ [illegible]ν Mack. – στήθει vulg. – στήθεϊ EHK. – πυκνὸν δὲ ἕλκει θ. – ἐποιδέωσι EHKθ. – οἰδέωσι vulg. – βηχίον IJK. – θώρακα E. — [4] ἐς τὴν (γῆν pro τὴν E; οὖν pro τὴν θ) ἑρετριδα (συνερετοιδα pro τὴν ἑρετρίδα FGIJK) (ἑρετρίαδα θ, Lind., Mack) γῆν (τὴν pro γῆν EFHIJKθ; γοῦν pro γῆν Lind.) ὑγρὴν vulg. – λίην vulg. – Lisez λεῖην. — [5] ὅπ. EHK. — [6] αὐτῶ J. – βούλει HJK, Ald., Frob., Lind., Mack. – ἑρετρίδι E. — [7] καύσιν θ. – τῷ (τῷ om. vulg.) ἐκ EHKF'θ. – ἐξίῃ vulg. – ἐξιεῖ EHK, Mack. — [8] ὅπ. EHK. – καίειν ἢ τάμνειν HK. – ὑποσημαίου EIJ. – τωὐτὸ H. – τὸ αὐτὸ vulg. – σχῆμα ἔχοντα ὅπερ ἂν ὁκόταν (ὅπ. E) μέλλῃς τάμνειν ἢ καίειν (καίειν ἢ τάμνειν EK) vulg. – σχῆμα ἔχοντα ὅπερ ἂν (addit ὁκοταν al. manu H) μελλῃς ἔχοντα καιειν ἢ τάμνειν H (θ, τάμνειν ἢ καίειν). – Le texte de vulg. ne peut subsister; celui de H, avant l'addition par une autre main, et de θ est le bon. L'auteur veut dire qu'au moment de l'opération il faut s'assurer si le patient a l'at-

dangereux de cautériser ou d'inciser à droite; en effet, autant le côté droit l'emporte en force, autant les maladies de ce côté l'emportent en intensité. Si, en raison de la densité, le liquide n'a pas de fluctuation et qu'il ne se produise pas de bruit dans la poitrine, mais que le malade ait la respiration précipitée, les pieds enflés et une petite toux, ne vous laissez pas tromper et sachez bien que la poitrine est pleine de pus. Alors prenez de l'argile d'Érétrie humide, bien broyée et chaude, trempez-y un linge léger, enveloppez-en circulairement la poitrine, et, là où le linge se séchera d'abord, il faut inciser ou cautériser aussi près que possible de la cloison phrénique, mais évitant cette cloison. Si vous voulez, contentez-vous d'enduire la poitrine avec la terre d'Érétrie, et examinez comme avec le linge; mais il faut que plusieurs enduisent en même temps, afin que les parties enduites d'abord ne se sèchent pas. Après l'incision ou la cautérisation, servez-vous de la tente de lin écru, et faites sortir le pus peu à peu. Quand vous allez inciser ou cautériser, observez que le patient conserve la même attitude où vous l'avez mis pour opérer, afin que la peau, élevée ou abaissée par le changement d'attitude, ne soit pas une cause d'erreur. On se défendra contre les toux par le régime, de peur qu'elles ne rappellent le pus dans le poumon; cela serait mauvais; il faut au contraire dessécher au plus vite. Au douzième jour, on évacuera tout le pus restant, on fera la tente en linge; on évacuera le pus deux fois par jour, et on desséchera autant que possible par le régime le ventre supérieur (*poitrine*). C'est de cette façon qu'il faut examiner et traiter les suppura-

---

titude qu'il doit avoir et que l'opérateur lui avait donnée au moment de commencer. Il faut donc supprimer ὁκόταν de vulg., et recevoir ἔχοντα de H et de θ. — [9] βήχας (sic) IJ. – φυλάττειν J. – ἀντισπάσωσι vulg. – ἀντισπάσουσι θ. – ἐς τὸν πλ. om. θ. – πν. EGHJK. – ἀλλ' ἐᾷν κατὰ τὴν τομὴν (ἐᾷν κ. τὴν τ. om. θ) ὡς vulg. — [10] ἀποξ. J. – δεκαταῖος K'. – Post ῇ addit κεκαυμένος θ. – ὑπόπυον pro πῦον θ. – μστοῦ vulg. – μοτοῦν K'θ, Mack. — [11] τῆς om. J. – ὡς om. θ. — [12] καὶ τὰς (τὰς om. θ) ἐκ τῆς (τῆς om. θ) περιπλ. (περιπν. GJK) vulg. – ἐκποιήσιας GI. – ἐκποιήσειας J. — [13] καὶ [ἐκ] πρ. Lind. – πνεύμονος GJK.

προσπεσόντος τοῦ πλεύμονος τῇσι πλευρῇσι σκοπεῖν καὶ θεραπεύειν.

17. [1]Ψυκτήρια δὲ τάδε δίδου ἐπὶ τοῖσι καύσοισι πίνειν, [2]ὁκόταν βούλῃ· πολλὰ δὲ ἀπεργάζεται· τὰ μὲν γὰρ οὔρησιν [3]ποιέει, τὰ δὲ διαχώρησιν, τὰ δὲ ἄμφω, τὰ δὲ οὐδέτερα, ἀλλὰ ψύχει μοῦνον ὡς [4]ἄγγος ὕδατος ζέον, ἤν τις ἐπιχέῃ ψυχρὸν ὕδωρ [5]ἢ ψυχρῷ αὐτὸ τὸ ἄγγος πνεύματι προσαγάγῃ· δίδου δὲ ἄλλα ἄλλοισιν· οὔτε γὰρ τὰ γλυκέα πᾶσι συμφέρει, οὔτε τὰ στρυφνὰ, οὔτε τὰ αὐτὰ πίνειν δύνανται. [6]Τοῦτο μὲν, κηρίων ξηρῶν ὅσον δύο κοτύλας βρέχων ὕδατι καὶ ἀνατρίβων γευέσθω, ἕως ἂν ὑπόγλυκυ γένηται, εἶτα διηθήσας, σέλινα [7]ἐμβαλὼν, δίδου πίνειν. [8]Τοῦτο δὲ, λίνου καρποῦ ὀξύβαφον, ὕδατος κοτύλας δέκα ἐπιχέας, ἑψεῖν ἐν καινῇ χύτρῃ ἐπὶ ἀνθράκων ἄζεστον, ἵνα ἀναπνέῃ, ἕως ἂν ὁ χυλὸς ἁπτομένῳ λιπαρὸς γένηται. [9]Τοῦτο δὲ, μελικρήτου ὑδαρέος καθεψήσας τὸ ἥμισυ λείπειν· ἔπειτα σέλινα ἐπιβαλὼν, τοῦτο ψυχρὸν κατ' ὀλίγον δίδου. [10]Τοῦτο δὲ, κριθὰς ἀχιλληΐδας κοτύλην αὐήνας, ἄρας τὸν ἀθέρα καὶ πλύνας εὖ, ἐπιχέας ὕδατος χοέα, ἕψει, καὶ τὸ ἥμισυ ἀπολείπων, ψύχων, δίδου πίνειν. [11]Τοῦτο

13. [17]Αὐαίνεται μυελὸς ὁ κατὰ τὴν ῥάχιν μάλιστα, ὁκόταν τὰ

[1] Σ. EHIJK. – διαλοιπὼν J. – ἄρτου FG, Ald. – τέμμαχον GK, Ald. – ῥήνης E. – γαλαιοῦ GI. – γαλαίου JK. — [2] ἢ pro καὶ K. – ὀιὸς, al. manu ὑὸς H. – ἔχων pro ἄγων J. — [3] ἐς omittit Martinus. — [4] ὄψα vulg. – ὄψω EHIK, Lind., Mack. – πυροῖσι EFGHIJK, Ald., Frob. – ὄτος Lind., Mack. — [5] καὶ om. EH. – Ante ὡς addit οὕτος EP'. – ὡς πρ. εἴρ. om., restit. al. manu H. — [6] οὕτος τῷ τετάρτω μηνὶ ἀρξ. sine δὲ H. – τετάρτω μηνὶ ἀρξ. sine δὲ E. – βαδιζέτω om., restit. al. manu H. – καὶ καθ' ἑκ. προστ. om., restit. in marg. sine καὶ H. – προστιθέσθω G, Ald. – ἕως pro μέχρις Lind. – ἂν om., restit. al. manu H. – ὀγδ. αὐτῷ EH. – στάδιοι γέν. E. — [7] καὶ (καὶ om. E) περ. (περιπατείτω GJ, Ald.) (addit δὲ E) τῆς vulg. — [8] πρὸ τ. δ. τρ. Cornar., Foes, Mack. – πρὸ τ. δ. τρ. om. vulg. – Cette addition est indispensable. — [9] τριήκοντα Calvus. – ὄρθρου δὲ EH. — [10] τριάκ. vulg. – τριήκ. EHIJK, Lind. – πεντήκοντα Calvus. – διαιτᾶσθαι, al. manu τάσθω H. – ὄψων J. — [11] καὶ

d'orge, et autant de vieux fromage de chèvre râclé; ayant fait un cycéon de tout cela, il le boira. Puis, au bout d'un peu de temps, il déjeunera, mangeant du pain, et, pour mets, tronçons de torpille, ou de raie bouclée, ou de mustèle (*un squale*), ou de raie; il usera de viandes de porc bouillies; il se donnera de l'embonpoint gardant le repos autant que possible, et il s'étuvera tranquillement tous les dix jours. Le quatrième mois il s'étuvera légèrement tous les cinq jours; il prendra le plus de mets qu'il pourra, mangeant du fromage, peu de viande, du mouton bouilli. Il parcourra encore des stades, comme il a été dit plus haut, commençant le premier jour du quatrième mois par dix, et ajoutant dix chaque jour, jusqu'à ce qu'il arrive à quatre-vingts; alors il fera dans la journée quatre-vingts stades, trente avant le dîner, vingt après le dîner, et trente le matin. Le reste du temps, il mangera de la polenta et du pain, usant de l'une et de l'autre; pour mets il aura des poissons cartilagineux et toutes les viandes, sauf le bœuf et le porc; il s'abstiendra de ces poissons-ci : le cestrée (*un muge*), l'anguille, le mélanure; il mangera la torpille, la raie bouclée, la raie, la mustèle, la pastenague, les baudroies, et aucun autre. Il prendra aussi, si cela ne paraît pas lui faire de mal, du cycéon avant de se coucher, cycéon fait avec un vin noir, doux et vieux, à la dose d'une tasse de deux cotyles; pendant le jour il boira du même vin par-dessus son manger. Il fera pendant le jour cent cinquante stades, quatre-vingt-dix avant le dîner, vingt après, et quarante le matin. Ce malade, ainsi traité, guérit en un an.

13. (*Il s'agit sans doute ici d'une maladie causée par les*

om., Lind., Mack. – δὲ om., restit. al. manu H. – νάρκη, al. manu ην H. – ῥήνην E. – ῥίνη, al. manu ην H. – γαλαιὸν G. – γαλαῖον IJK. — [12] λοιπῶν EH. – μηδένα EH. – ἐπειδὰν [δὲ] Lind. – μέλλη EHP'Q', Lind. – καθευδήσειν EHJ. – ἐπὶ τῷ σιτίῳ K, Mack. — [13] πρὸ τ. δ. ἐνν. K', Cornar., Foes, Mack. – πρὸ τ. δ. ἐνν. om. vulg. – Addition indispensable comme plus haut. — [14] τὸ om. EFGHIJK, Ald. — [15] πεντήκοντα Calvus. — [16] ἑκατὸν Calvus. – οὕτως vulg. – οὕτω K, Lind., Mack. – ἐν om. K. – γίνεται ὑγιὴς μάλιστα ἐνιαυτῶ οὕτω θεραπευόμενος EH. — [17] In tit. ἢν μυελὸς ὁ κατὰ τὴν ῥάχιν αὐαίνηται GHIKP'. – δὲ pro μυελὸς ὁ κ. τ. ῥ. quod restit. al. manu post μάλιστα H. – δὲ μάλιστα ὁ κ. τ. ῥ. μυελὸς E. – ῥάχην K. – φλεβία E. – ἐς EHIJK, Lind. – εἰς vulg.

φλέβια ἀποφραχθῇ τὰ ἐς τὸν μυελὸν τείνοντα καὶ ἡ ἐκ τοῦ ἐγκεφάλου ἔφοδος. Διὰ κάκωσιν δὲ τοῦ σώματος τάδε πάσχει καὶ νοσέει· αὐαίνεται [1] μάλιστα καὶ ἀπὸ λαγνείης· τάδε οὖν πάσχει· ὀδύνη ὀξέη ἐμπίπτει αὐτῷ ἐς τὴν κεφαλὴν, καὶ ἐς τὸν τράχηλον, καὶ [2] ἐς τὴν ὀσφῦν, καὶ ἐς τοὺς μύας τῆς ὀσφύος, καὶ ἐς τὰ ἄρθρα τῶν σκελέων, ὥστε ἐνίοτε οὐ δύναται ξυγκάμπτειν· καὶ ἡ κόπρος οὐ διαχωρέει, ἀλλ' ἵσταται καὶ δυσουρέεται. Οὗτος κατ' ἀρχὰς μὲν τῆς νούσου [3] ἡσυχαίτερον διάγει· ὁκόσῳ δ' ἂν ὁ χρόνος τῇ νούσῳ ἀπομηκύνηται, πονέει ἅπαντα μᾶλλον, καὶ τὰ σκέλεα οἰδέει ὡς ἀπὸ ὑδέρου, καὶ ἕλκεα ἐκφλυνδάνει [4] ἀπὸ τῆς ὀσφύος, καὶ τὰ μὲν ἄλλα ὑγιαίνεται, τὰ δὲ ἄλλα παραφύεται. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, [5] πυριήσας τὴν κεφαλὴν, τῷ ἱππόφεω ὀπῷ ἢ τῷ κνιδίῳ κόκκῳ καθῆραι πρῶτον τὸ σῶμα εὖ μάλα· τῆς δὲ ἑσπέρης μετὰ τὴν κάθαρσιν [6] πτισάνης δύο τρυβλία ῥοφεέτω μέλι παραχέας· οἶνον δὲ λευκὸν πινέτω μαλθακόν. Τῇ [7] δὲ ὑστεραίῃ ὀνείου γάλακτος διδόναι αὐτῷ ἑφθοῦ, μέλι παραχέας, ὀκτὼ κοτύλας ἐκπιεῖν· ἢν δὲ μὴ ὄνειον ἔχῃς, [8] βοείου ἢ αἰγείου ἑφθοῦ τρία ἡμιχόεα, παραχέας μέλι· καὶ τὴν ὥρην γαλακτοποτεέτω ἐν [9] ὀρρῷ καὶ γάλακτι, πέντε καὶ τεσσαράκοντα ἡμέρας. Σιτίοισι δὲ καὶ ὄψοισι χρεέσθω ὡς διαχωρητικωτάτοισιν· οἶνον δὲ πινέτω λευκὸν, μαλθακὸν, Μενδήσιον. [10] Ὁκόταν δὲ παχύτατος ᾖ, καῦσαι αὐτοῦ ἐς τὴν ὀσφῦν ἑκατέρωθεν τῶν [11] σπονδύλων τέσσαρας ἐσχάρας, καὶ ἐς τὸ μετάφρενον δεκαπέντε ἑκατέρωθεν, καὶ ἐς τὸν αὐχένα δύο μεταξὺ τῶν τενόντων· ἢν γὰρ τύχῃς καύσας, ὑγιέα ποιήσεις· ἡ δὲ νοῦσος χαλεπή.

[1] Δὲ μάλιστα E. – λαγνείας J. – ὀξέη, al. manu εἰ H. – ὀξείη vulg. – αὐτοῦ K. – τράχυλον Ald. — [2] ἐς om. GHK. – ὀσφὺν J, Ald., Frob., Lind., Mack. – μύας HK, Mack. – μῦας vulg. – δύνανται EH. – ξυγκάπτειν E. — [3] ἡσυχαίτερον HIKP'Q', Lind., Mack. – ἡσυχέτερον EF. – ἡσυχέστερον vulg. – Post σκέλεα addunt τε EH. – Post ἕλκεα addit δὲ E. – ἐκφυνδάνει FGIJKQ', Vatic. ap. Foes, Lind., Mack. – ἐκφηνδάνει, al. manu φυν H. – ἐκφυδάνει (E, al. manu φλύν) L. – Gal. Gl. : ἐκφινθάνει, ἐξορμᾷ. — [4] ἐκ EH. – φύεται vulg. – παραγίνεται, al. manu φύεται H. – παραφύεται EP'Q', Lind., Mack. — [5] καθῆραι τὴν κεφαλὴν τῷ ἱπποφαέως (ἱπποθέω FGHIK; ἱπποφέω E; ἱππόφεω Lind.) ὀπῷ ἢ τῷ κνιδίῳ κόκκῳ πυριήσας πρῶτον vulg. – La place est manifestement intervertie entre καθῆραι et πυριήσας. Μετὰ τὴν κάθαρσιν qui suit l'indique suffisamment. – Gal. Gl. : ἱππόφεως, τοῦτο οὐ μόνον ἱπποφαὲς ὀνομάζεται, ἀλλὰ καὶ κνάφον καὶ στύβον. – δ' K. — [6] πτισσ. E. – ῥυφεέτω G, Ald. — [7] δ' EH. – ὀκτὼ κοτ. ἐκπ. om. FGIJK. – ἔχεις J. – ἔχῃς om. FG. — [8] βοείου ἢ αἰγείου ἑφθοῦ H, Lind. – βόειον ἢ αἰγειον ἑφθὸν vulg. – ἡμιχόεα, al. manu χόε H. – γαλακτοποτιέτω (sic) IJ. — [9] ὀροβίῳ vulg. – ὀρρῷ K', Cal-

pertes seminales. Comp. la phthisie dorsale du Deuxième livre des Maladies, § 51.) La moelle rachidienne se dessèche surtout, quand les veines qui se rendent à la moelle et la voie qui mène hors de l'encéphale sont obstruées. C'est par la détérioration du corps que surviennent ces accidents et cette maladie; les excès vénériens en sont surtout la cause. Voici les accidents : une douleur aiguë se fait sentir à la tête, au cou, aux lombes, aux muscles des lombes et aux articulations des membres inférieurs, au point que parfois le malade ne peut les fléchir. Les selles ne procèdent pas; il y a constipation et dysurie. Le malade, au début, supporte assez paisiblement son mal; mais plus le temps s'écoule, plus toutes les souffrances augmentent. Les jambes enflent comme par l'hydropisie; des ulcérations se forment aux lombes, les unes guérissant, les autres naissant à côté. Les choses étant ainsi, après avoir étuvé la tête, on évacuera énergiquement avec le suc de l'hippophée (*euphorbia spinosa,* L.) ou avec le grain de Cnide; le soir, après l'évacuation, le patient prendra pour potages deux oxybaphes d'orge en décoction avec addition de miel; il boira un vin blanc et émollient. Le lendemain on lui donnera huit cotyles de lait d'ânesse cuit avec addition de miel; si vous n'avez pas de lait d'ânesse, donnez trois demi-conges de lait de vache ou de chèvre cuit avec addition de miel. Dans la saison il suivra un régime lacté, sous forme de petit-lait et de lait, pendant quarante-cinq jours. En aliments de céréales et en mets, il usera de ce qu'il y a de plus relâchant; il boira du vin blanc, émollient, de Mendes. Au moment où il aura le plus d'embonpoint, on lui fera aux lombes, de chaque côté des vertèbres, quatre eschares, au dos quinze de chaque côté, au cou deux entre les tendons. Car, si vous réussissez dans la cautérisation, vous guérirez le patient. Mais la maladie est difficile.

vus. – La lecture d'ὀῤῥῷ pour ὀροβίῳ est certaine; voyez les passages parallèles, où il est toujours question de petit-lait et de lait. — [10] ὁπ. H. – παχύτατα FG. – ὀσφὺν E, Ald., Frob., Lind., Mack. — [11] σφ. K. – εἰς HIJK. – Ante ὑγιέα addunt καὶ EGHIJK, Ald.

14. [1] Αἱ τέσσαρες νοῦσοι αἱ ἀπὸ τῶν νεφρῶν γινόμεναι· ἀπὸ τῆς πρώτης τάδε πάσχει· ὀδύνη ὀξείη ἐμπίπτει [2] ἐς τὸν νεφρὸν καὶ ἐς τὴν ὀσφῦν καὶ ἐς τὸν κενεῶνα καὶ ἐς τὸν ὄρχιν τὸν κατὰ τὸν νεφρὸν, καὶ οὐρέει πυκινὰ, καὶ στύφει κατ' ὀλίγον τὸ οὖρον, καὶ ἅμα τῷ οὔρῳ προέρχεται ψάμμος, καὶ ὁκόταν [3] ἐξίῃ διὰ τῆς οὐρήθρης ἡ ψάμμος, ὀδύνην παρέχει ἰσχυρὴν ἐν τῇ οὐρήθρῃ· ὁκόταν δὲ διεξουρήσῃ, ἡ ὀδύνη ἀνίησιν· ἔπειτα αὖθις ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κέεται· ὁκόταν δὲ οὐρέῃ, καὶ τὸν καυλὸν ὑπὸ τῆς ὀδύνης τρίβει. Πολλοὶ δὲ τῶν ἰητρῶν οἱ μὴ συνιέντες τὴν νοῦσον, ὁκόταν ἴδωσι τὴν ψάμμον, δοκέουσι λιθιῆν τὴν κύστιν, [4] καὶ ταύτην μὲν οὔ, τὸν δὲ νεφρὸν [5] λιθιῆ. Αὕτη ἡ νοῦσος γίνεται ἀπὸ φλέγματος, ὁκόταν [6] ὁ νεφρὸς ἐς ἑωυτὸν ἀναλαβὼν φλέγμα μὴ ἀφίῃ πάλιν, ἀλλ' αὐτοῦ [7] ξυμπωρωθῇ· τοῦτο γίνεται λίθοι λεπτοὶ οἷον ψάμμος. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τῷ ὀξεῖ τῆς σκαμμωνίης ἢ αὐτῇ τῇ ῥίζῃ, [8] πυριήσας πρόσθεν ἅπαν τὸ σῶμα, ὑποκαθῆραι· τῇ [9] δὲ ὑστεραίῃ τῷ ἀπὸ ἐρεβίνθων λευκῶν χυλῷ ὑποκαθῆραι δύο χοεῦσιν, ἅλας δὲ παρεμβαλὼν διδόναι πίνειν· μετὰ δὲ ταῦτα ποτοῖσι καὶ βρωτοῖσι καὶ λουτροῖσι [10] μελετῆν, διδοὺς τὰ αὐτὰ ἃ τῷ στραγγουριῶντι δίδοται φάρμακα. Ὁκόταν δὲ ἡ ὀδύνη πιέσῃ, λούειν πολλῷ καὶ θερμῷ, καὶ χλιάσματα προστιθέναι ὅπῃ πονέει μάλιστα. Ὁκόταν δὲ ἀποιδήσῃ καὶ [11] ἐξαρθῇ, ὑπὸ τοῦτον τὸν χρόνον τάμνειν κατὰ τὸν νεφρὸν, καὶ ἐξελὼν τὸ πῦος, τὴν ψάμμον διουρητικοῖσιν ἰῆσθαι· ἢν μὲν γὰρ τμηθῇ, ἐλπὶς ἐκφυγέειν· ἢν δὲ μὴ, ἡ νοῦσος τῷ ἀνθρώπῳ συναποθνήσκει.

15. [12] Δευτέρη νοῦσος νεφρῶν· αἱ μὲν ὀδύναι ἰσχυρῶς πιέζουσιν ὡς

[1] Ἀπὸ τῶν νεφρῶν αἵδε νοῦσοι γίνονται τέσσαρες (E, et addit τίνες νοῦσοι ἀπὸ νεφρῶν γίνονται) (H, sine τῶν) IK. – ἐμπίπτει ὀξείη E. — [2] ἐς EH, Lind. – εἰς vulg. – καὶ ἐς τὴν.... νεφρὸν om. J. – καὶ ἐς τὸν κενεῶνα EH. – καὶ ἐς τ. κ. om. vulg. – πυκνὰ Lind. – προσέρχεται EGHIK, Vatic. exempl. ap. Foes, Ald. — [3] ἕξει (sic), al. manu ἐξίει H. – αὖτις EH. — [4] καὶ ταύτην om., al. manu καὶ ταύτη H. – οὐ λιθιῆ pro οὐ EH. — [5] λιθιᾶ EH. – λιθιῆν JK. — [6] οἱ νεφροὶ E. — [7] σ. IJ. – τούτω al. manu H. – σκαμωνίης GJ, Ald., Frob. — [8] πυριῆσαι (πυριάσης K') (addit δὲ Mack) πρόσθεν δὲ (δὲ om., H restit. al. manu, K') ἅπαν vulg. – C'est sans doute πυριάσας qu'avait K', mal cité par Mack; en tout cas, c'est cela qu'il faut avec la suppression de δέ. — [9] δ' EHK. – ὑστερέῃ G, Ald. – τῷ om. EH. – τῶ χυλῶ H. – ἅλα EHJK. — [10] μελέτην IJ. – μελετᾶν E. – καὶ pro ἃ (E, ἃ al. manu) FGHIJK. – δίδου αὐτῶ pro δίδοται EFGIJK. — [11] ἐξαρθῇ E. – ἐξορθρῇ, al. manu ἐξαρθῇ H. – Post χρόνον addunt παράσχῃ EH. – μὲν om., restit. al. manu H. – ἐκφυγέειν EH.

14. (*Quatre maladies provenant des reins. Première maladie, incision à la région rénale; voyez la savante dissertation de M.* Rayer *sur la néphrotomie,* Maladie des reins, t. III, p. 206.) Les quatre maladies provenant des reins : voici les accidents de la première : une douleur aiguë est ressentie au rein, aux lombes, au flanc, au testicule du côté malade; le patient urine souvent; peu à peu l'urine se supprime; avec l'urine sort du sable; quand ce sable traverse l'urèthre, il cause une vive douleur, qui se passe quand il est expulsé; puis les mêmes souffrances recommencent. De plus, quand il urine, il frotte la verge à cause de la douleur. Plusieurs médecins qui ne comprennent pas la maladie, voyant le sable, croient que la vessie est graveleuse (Aph., IV, 79; *voy.* Argument des Aph., t. IV, p. 424); or, c'est non pas la vessie, mais le rein qui est graveleux. Cette maladie provient du phlegme, quand le rein, attirant à soi cette humeur, ne la rejette pas ensuite; humeur qui s'y solidifie; cela devient de petites pierres comme du sable. Les choses étant ainsi, on étuvera tout le corps, après quoi on évacuera modérément avec le suc de scammonée ou avec la racine même. Le lendemain on évacuera avec l'eau de pois chiches blancs, à la dose de deux conges; au moment de boire on y mettra du sel. Après cela, on traitera par les boissons, les aliments et les bains, donnant les mêmes choses qui se donnent dans la strangurie. Quand la douleur presse, on lave avec beaucoup d'eau chaude, et on fait des applications chaudes là où la souffrance est la plus forte. Quand il s'est formé gonflement et soulèvement, vous ferez à ce moment une incision sur le rein, et, évacuant le pus, vous traiterez la gravelle par les diurétiques; en effet, si l'incision est pratiquée, il y a chance de salut; sinon, la maladie finit par causer la mort.

15. (*Deuxième maladie des reins. Phthisie rénale.*) Seconde maladie des reins : les douleurs se font sentir violemment

– ἐκφυγεῖν vulg. – ξυναπ. Lind. — [11] ἄλλη EHI. – ἑτέρη K. – νοῦσος om. H. – νεφροῦ EHIK. – αἱ μὲν οὖν K.

ἐν τῇ πρόσθεν. Γίνεται δὲ τὸ [1]νούσημα ἀπὸ ταλαιπωρίης, ὁκόταν ῥαγῇ τὰ φλέβια [2]τὰ ἐς τὸν νεφρὸν τείνοντα, ἔπειτα ὁ νεφρὸς αἵματος ἐμπλησθῇ. Οὗτος ὁκόταν ταῦτα πάθῃ, ἐξουρέει ἅμα τῷ οὔρῳ αἷμα κατ' ἀρχὰς τοῦ [3]νουσήματος, ἔπειτα πῦον προϊόντος τοῦ χρόνου. Οὗτος ἢν [4]ἡσυχίην ἔχῃ τῷ σώματι, τάχιστα ὑγιὴς ἔσται· ἢν γάρ τι πονήσῃ, αἱ ὀδύναι πολλῷ μᾶλλον [5]ἐξουσιν. Ὁκόταν γοῦν ἔμπυος ᾖ ὁ νεφρὸς, ἀποιδέει παρὰ τὴν ῥάχιν· τοῦτον, ὅταν οὕτως ἔχῃ, τάμνειν κατὰ τὸ ἀποιδέον, μάλιστα μὲν βαθείην τομὴν κατὰ τὸν νεφρόν· κἢν μὲν τύχῃς ταμὼν, παραχρῆμα ὑγιέα ποιήσεις· ἢν δὲ ἁμάρτῃς, κίνδυνος ἕλκος ἔμμοτον γενέσθαι. Ἢν δὲ [6]ξυμφυῇ τὸ ἕλκος, ἐμπυοῦται εἴσωθεν ἡ κοιλίη ἡ ἀπὸ τοῦ νεφροῦ· κἢν μὲν ῥαγῇ ἔσωθεν καὶ χωρήσῃ κατὰ τὸν ἀρχὸν τὰ πῦα, ἐλπὶς ἐκφυγέειν· ἢν δὲ ψαύσῃ τοῦ ἑτέρου νεφροῦ, κινδυνεύσει καταφθαρῆναι. Μελετῇν [7]δὲ φαρμάκοισι καὶ τοῖσιν αὐτοῖσι πᾶσιν, οἷσι καὶ τὸν πρόσθεν, καὶ τὴν δίαιταν τὴν αὐτὴν ἐχέτω· αὕτη [8]δὲ ἡ νοῦσος χαλεπὴ, καὶ πολλοὶ ἐκ ταύτης τῆς νούσου ἐς φθίσιν νεφρίτιδα κατέστησαν.

16. [9]Τρίτη νοῦσος νεφρῶν· τὸ μὲν οὖρον προέρχεται οἷον ἀπὸ κρεῶν βοείων ὀπτῶν χυλός. Γίνεται δὲ τὸ [10]νούσημα ἀπὸ χολῆς μελαίνης, ὁκόταν χολὴ ἐς τὰ φλέβια συρρῇ τὰ τείνοντα ἐς τὸν νεφρὸν, καὶ ὁκόταν στῇ, ἑλκοῖ τὰ φλέβια καὶ τὸν νεφρόν· ὑπὸ οὖν τῆς ἑλκώσιος [11]τοιοῦτον ὑποχωρέει ἅμα τῷ οὔρῳ. Αἱ δὲ ὀδύναι ἔχουσιν ἐν τῇ ὀσφύϊ καὶ ἐν τῇ κύστει καὶ ἐν τῷ περινέῳ καὶ ἐν αὐτῷ τῷ νεφρῷ, ἐπ' ὀλίγον χρόνον· ἔπειτα ἀνῆκεν ὁ πόνος καὶ αὖθις ἐπέλαβεν ὀξὺς δι' ὀλίγου· καὶ ἐς τὸ λεπτὸν τῆς γαστρὸς ἔστιν ὅτε ὀδύνη ἐμπίπτει. Τοῦτον, ὁκόταν [12]οὕτως ἔχῃ, ὑποκαθῆραι τὴν κοιλίην ἐπιθύμῳ ἢ τῆς σκαμμωνίης ῥίζῃ· πίνειν διδόναι τὰ αὐτὰ ἃ καὶ τῷ στραγγουριῶντι,

[1] Νόσ. EHIJK. – φλεβία E. — [2] τὰ om., restit. al. manu H. – Ante ὁ addunt ἢν E (H, al. manu) P'Q', Mack. – πλησθῇ EFGHIJK, Ald. — [3] νοσ. EG HI, Ald., Frob. – πύει FGHJ, Ald. – πύη K. – πτύει EI, Vatic. exempl. ap. Foes. – C'est πύη que ces leçons supposent, pour πύεα pluriel de πῦος; πῦα, pluriel de πῦον, est fréquent. – Ante τοῦ addunt δὲ EH, Lind. — [4] ἡσυχίαν G, Ald. – ἔχῃ om., restit. al. manu H. — [5] ἔξουσιν (sic) H. – οὖν EH. – ἀποιδέῃ Frob. – παρὰ FGIJK, Vatic. exempl. ap. Foes, Lind. – περὶ vulg. – οὕτω H. – ποιήσῃς H. – δ' E. — [6] σ. EHIJK. – ἐκπυοῦται vulg. – ἐμπυοῦται EG (H, al. manu) IJ. – κινδυνεύσει EIJKθ. – κινδυνεύει, al. manu σει H. – κινδυνεύσῃ vulg. – καταφθαρῆν (sic) Frob. — [7] δὲ χρὴ θ. – καὶ om. θ. – Post τοῖσιν addunt ἄλλοισι τοῖσιν EH. – ὡς pro οἷσι θ. — [8] δὲ om., restit.

comme dans la précédente. Cette maladie vient de fatigues quand, les veines qui se rendent au rein se déchirant, le rein s'emplit de sang. Dans cet état, le patient rend, avec l'urine, du sang au début de la maladie, puis, avec le temps, du pus. S'il garde le repos, il guérira très-promptement; mais, s'il fait quelque effort, les douleurs deviennent beaucoup plus vives. Quand le rein s'est rempli de pus, il se gonfle près du rachis. En ce cas, on pratiquera sur le gonflement une incision, en général profonde, dans le rein. Si vous réussissez dans l'incision, vous guérirez sur-le-champ le patient; si vous échouez, il est à craindre que la plaie ne se ferme pas. Les bords de la plaie se recollent-ils? la cavité du rein se remplit de pus en dedans; si le pus se fait jour en dedans et passe dans le rectum, il y a chance de salut; mais, s'il va joindre l'autre rein, la mort est à craindre. On emploiera les évacuants et tous les autres moyens du cas précédent; le régime sera le même. Cette maladie est difficile; et chez beaucoup elle s'est terminée par une phthisie rénale.

16. (*Troisième maladie des reins.*) Troisième maladie des reins : l'urine rendue est comme du jus de bœuf rôti. La maladie vient de la bile noire, quand la bile afflue dans les veines qui se rendent au rein; s'y arrêtant, elle ulcère les veines et le rein; c'est donc l'ulcération qui fait qu'avec l'urine est rendue une telle humeur. Les douleurs se font sentir aux lombes, à la vessie, au périnée et au rein même, pendant peu de temps; puis la souffrance cesse, pour reprendre bientôt avec acuité. Parfois aussi la douleur saisit le bas du ventre. Les choses étant ainsi, on évacuera le ventre avec l'épithymum (*cuscuta epithymum*, L.) ou la racine de scammonée; on donnera à boire ce qui se donne dans la strangurie; et, quand la

al. manu H. — [9] ἄλλη EHIJK. – νοῦσος om., restit. al. manu post νεφ. H. – νεφροῦ EHIJ. — [10] νόσ. EH. – ὅταν FG. – φλεβία E. – συνρυῇ θ. – συρρεῖ H. – ξυῤῥῇ Lind. – τὰ ἐς τὸν ν. τείν. E. — [11] τοιοῦτο Lind. – περιναίω EG (HI, al. manu) JK. — [12] οὕτω H. – τῇ σκαμμωνίῃ FG (H, al. manu τῆς σκαμμωνίης) (θ, σκαμωνίη), Ald. – λούειν καὶ πολλῷ καὶ χλιάσματα προστιθέναι θ.

καὶ ὁκόταν ἡ ὀδύνη ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ, χλιάσματα προστιθέντα πρὸς τὸ πονέον μάλιστα, καὶ [1]ῥοφήματι χρεέσθω ἀλεύρῳ ἑφθῷ, μέλι παραχέας, καὶ τῇ ἄλλῃ διαίτῃ [2]χρεέσθω ὡς διαχωρητικωτάτῃ, καὶ οἶνον πινέτω λευκὸν Μένδαιον μελίχρουν, ἢ ἄλλον λευκὸν τὸν ἥδιστον καλῶς κεκρημένον. Αὕτη ἡ νοῦσος οὐ μάλα ἐκλείπει· καὶ τὴν ὥρην ὀρροποτεέτω καὶ γαλακτοποτεέτω, ἐς κάθαρσιν μὲν τῷ ὀρρῷ, τὴν δὲ γαλακτοποσίην [3]ποιεέσθω ἐν ὥρῃ, πέντε καὶ τεσσαράκοντα ἡμέρας. Ταῦτ' ἢν οὕτω ποιέῃς, ἐπὶ τὸ κρέσσον διαθήσεις τὴν νοῦσον.

17. [4]Τετάρτη νοῦσος νεφρῶν· [5]τὸ μὲν νούσημα γίνεται ἀπὸ χολῆς καὶ φλέγματος, ἐν καιρῷ δὲ τοῦ θέρεος μάλιστα· γίνεται δὲ καὶ ἀπὸ λαγνείης ἡ νοῦσος. Οὗτος τάδε πάσχει· ὀδύναι πιέζουσιν αὐτὸν ἐς τὴν λαπάρην καὶ ἐς τὸν κενεῶνα καὶ ἐς τὴν ὀσφῦν καὶ ἐς τοὺς μύας τῆς ὀσφύος, καὶ πάσχει [6]ὁκοῖα γυνὴ ὠδίνουσα, καὶ οὐκ ἀνέχεται ἐπὶ τοῦ ὑγιέος κατακείμενος, ἀλλ' ἄγαν πονέει, [7]καὶ τοῦ κενεῶνος δοκέει κατακρέμασθαι ὡς ἀπορρησσόμενα· ἐπὶ δὲ τὰ πρηνέα ἢν κατακέηται, οὐκ ἀλγέει· οἱ δὲ πόδες καὶ αἱ κνῆμαι [8]αὐτοῦ ἀεὶ ψυχρά· τὸ δὲ οὖρον μόλις προέρχεται ὑπὸ τῆς θερμασίης καὶ παχύτητος τοῦ οὔρου· κὴν μὲν ἐάσῃς αὐτὸ ὀλίγον χρόνον, καταθεὶς ἕως [9]ἂν καταστῇ, ὄψει τὸ ὑφεστηκὸς παχὺ, οἷόν περ ἄλευρον· κὴν μὲν χολὴ ἐπικρατέῃ, ὑπόπυῤῥον αὐτὸ ὄψει· ἢν δὲ ἀπὸ φλέγματος ᾖ τὸ [10]νούσημα, λευκὸν καὶ παχὺ ἔσται. Καὶ τὸ μὲν πρῶτον ἐς ἐνιαυτὸν ἢ ὀλίγῳ πλέονα ἢ ὀλίγῳ ἐλάσσονα χρόνον τοιαῦτα πάσχων διατελέει· [11]ἢν δὲ ἐπιμηκύνηται ἡ νοῦσος, πονέει τε μᾶλλον καὶ ἐμπυοῦται, καὶ ὁκόταν ἔμπυος

[1] Ῥυφ. G, Ald. – παραχέων θ. — [2] χρέεσθαι E. – μενδαίον (sic) θ, Mack. – μενδαῖον EHK. – μενδήσιον Q', Lind. – μελιχροῦν I. – μάλιστα pro οὐ μάλα θ. — [3] ἐν ὥρη ποι. EH. – ταύτην J. – οὕτω om., restit. al. manu H. – ῥῆϊστα διέξει, al. manu καὶ ἐπὶ τὸ κρέσσον διαθήσεις τὴν ν. H. – ῥῆϊστα διεκφύγοι τὴν ν. E (P'Q', διαφεύξει). — [4] ἄλλη νοῦσος νεφροῦ (E, νόσος) (H, al. manu) IJK (θ, sine νοῦσος). — [5] τὸ.... φλέγματος om. θ. – νόσ. EH. – δὲ ponit post τοῦ θ. – ὀσφὺν J, Ald., Lind., Mack. – μῦας Lind., Mack. — [6] ὁποῖα G. – κατακεῖσθαι vulg. – κατακείμενος (H, al. manu κατακεῖσθαι) θ. – ἃ γὰρ pro ἀλλ' ἄγαν θ. – ἄγε pro ἄγαν J. — [7] καὶ om. θ. – κατακρεμᾶσθαι vulg. – κατακρέμασθαι K. – ἀπορησσόμενα vulg. – ἀποριοσσόμενα, al. manu ἀπορρησσ. H. – ἀπορρησσ. EK, Mack. – Ante ἐπὶ addunt ἔπειτα πονέει EH. — [8] ἀεὶ ψυχραὶ αὐτοῦ EH. – αἰεὶ Lind. – ψυχραὶ IJK. – μόγις θ. – φλεγμασίης vulg. – θερμασίης θ. – παχυτῆτος vulg. – παχύτητος E, Lind., Mack. — [9] ἢν H. – ὄψῃ FG, Ald. – Ante παχὺ addunt πᾶν θ, Vatic. exempl. ap. Foes, Mack. – πᾶν pro

douleur est présente, on lave avec beaucoup d'eau chaude, et on fait les applications chaudes sur la partie douloureuse surtout. Pour potage le patient prend de la farine cuite, à laquelle on ajoute du miel; le reste de son régime est aussi relâchant que possible. Il boira du vin blanc de Mendes miellé, ou un autre vin blanc très-agréable et bien coupé. Cette maladie ne quitte guère le patient. Dans la saison, il boira du petit-lait et du lait; le petit-lait est pour relâcher le ventre; quant à la cure par le lait, il en boira, dans la saison, pendant quarante-cinq jours. Si vous agissez ainsi, vous mettrez le malade en meilleur état.

17. (*Quatrième maladie des reins.*) Quatrième maladie des reins : la maladie vient de la bile et du phlegme, pendant l'été surtout; elle vient aussi d'excès de coït. Voici les accidents : des douleurs se font sentir aux flancs, aux lombes et aux muscles des lombes; le patient souffre comme une femme en mal d'enfant; il ne supporte pas le décubitus sur le côté sain, ce qui augmente la souffrance à l'excès, et lui donne la sensation de quelque chose suspendu au flanc et se déchirant. Mais, s'il se couche sur le ventre, il ne souffre pas. Les pieds et les jambes sont toujours froides. L'urine est rendue avec peine à cause qu'elle est brûlante et épaisse; si vous l'abandonnez pendant quelque temps jusqu'à ce qu'elle dépose, vous verrez un sédiment épais et semblable à de la farine; si c'est la bile qui domine, il sera rougeâtre; si c'est la pituite, il sera blanc et épais. D'abord le patient demeure en proie à ces souffrances pendant un an, un peu plus ou un peu moins; puis, si la maladie se prolonge, ses souffrances augmentent, et une suppuration se forme. Quand elle est formée et qu'il y a gonflement, on pratiquera, là où le gonflement est le plus considérable,

παχὺ FGIJK, Ald. – ἐπικρατέει K. – ὑπόπυρον EGIJ. — [10] νόσ. E. – ἐστὶ E. – πλείονα E. – πλείω sine ἢ ὀλίγῳ ἐλάσσονα θ. — [11] ἢν ὧδε χρόνος πλείων τῇ νούσῳ καὶ ἀπομηκύνηται, al. manu ἢν δ' ἐπ. ἡ ν. H. – ἢν δὲ ὁ χρόνος πλείων τῇ νούσῳ ἀπομηκύνηται θ. – δ' E. – τε om. θ. – ἐκπυοῦται θ. – καὶ ὁκόταν ἔμπυος ᾖ, ἀποιδέει, καὶ ὅκου θ. – γενόμενος om., restit. al. manu H.

γενόμενος ἀποιδέῃ, ὅκου [1] ἂν μάλιστα ἀποιδέῃ τάμνειν ἐς τὸν νεφρὸν, καὶ ἀφιέναι τὰ πῦα· καὶ ἢν μὲν τύχῃς ταμὼν, παραχρῆμα ὑγιέα ποιήσεις. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τοῖσιν αὐτοῖσι [2] πᾶσι θεραπεύειν, οἷσι κατὰ τὸ πρόσθεν· καὶ κατ' ἀρχὰς τῆς νούσου [3] δεῖ τε καθῆραι καὶ πρὸ τῆς ὑποκαθάρσιος πυριῆσαι· καὶ τοῖσι λουτροῖσι [4] μὴ πυκινὰ λουέσθω, ἀλειφέσθω δὲ μᾶλλον, μηδὲ ῥιγούτω, καὶ τοῦ ἡλίου ἀπεχέσθω, [5] καὶ μὴ λαγνευέτω. Ταῦτα ἢν ποιέῃ καὶ μὴ τάχιστα ὑγιαίνῃ, οὐ καινόν· [6] ἡ νοῦσος γὰρ ὡς χαλεπή. [7] Ἢν δὲ βούλῃ ἄνευ φαρμάκων ἰῆσθαι, χρὴ παχὺν [7] ποιῆσαι ἀπὸ διαίτης ἥν τε ταύτην τὴν νοῦσον κάμνοντα, [8] ἥν τε τῶν προτέρων τινὰ, [9] τὰ σιτία διελὼν, ἃ μεμαθήκει ἐσθίειν, [10] ἤγουν δέκα μερίδας· ἔπειτα μίην ἀφελὼν μερίδα, τὰ λοιπὰ καταφαγέτω, ὄψον δὲ ἐχέτω κρέας ὗς τετριμμένον, καὶ περιπατεέτω δέκα σταδίους [11] ταύτης τῆς ἡμέρης· τῇ δὲ ὑστεραίῃ καὶ τῇ τρίτῃ μέχρι τῶν [12] δέκα ἡμερέων ὑποβαίνων μερίδα, ἐλάσσω ἐσθιέτω, καὶ περιπατεέτω δέκα [13] σταδίους αἰεὶ πλείω ἑκάστης ἡμέρης· [14] ὁκόταν δὲ ἐς τὴν ἐσχάτην μερίδα ἀφίκηται τοῦ σιτίου καὶ ἐς τοὺς ἑκατὸν [15] σταδίους, ἐσθιέτω τὴν μίην μερίδα μούνην, καὶ ταύτης τῆς ἡμέρης περιπατησάτω [16] τοὺς ἑκατὸν σταδίους, πρὸ τοῦ δείπνου τεσσαράκοντα, μετὰ [17] δὲ τὸ δεῖπνον εἴκοσιν, ὄρθρου δὲ τεσσαράκοντα· οἶνον δὲ πινέτω [18] Μένδαιον, λευκὸν, αὐστηρόν. Ταῦτα [19] δὲ ποιεέτω τρεῖς ἡμέρας· ἔπειτα τὸν λοιπὸν χρόνον ὑποβαίνων τῶν περιπάτων, [20] τῶν σιτίων πλείω ἐσθιέτω, τὸν αὐτὸν τρόπον ὥσπερ ἀφῄρει, [21] οὕτω

[1] Ἢν, al. manu ἂν H. – ἀποιδέοι H. – ἀφυέναι, al. manu φι H. – μὲν om., restit. al. manu H. – ποιήσῃς H. – τοῦτον om., restit. al. manu H. — [2] πάθεσι vulg. – πᾶσι θ, Lind., Mack. — [3] δεῖται E. – δεῖ τε καθ. καὶ om. (H, al. manu δεῖται καθῆραι) θ. – δὲ pro τε Mack. – καὶ om. E. – La leçon de H et de θ pourrait aussi s'entendre. — [4] μὴ H. – μὴ om. vulg. – πυκνὰ Lind. – λούειν vulg. – λουέσθω EH. – ἀλ. δὲ καὶ θαλπέσθω (καὶ θαλπ. om., H restit. al. manu, θ) μᾶλλον vulg. — [5] μηδὲ pro καὶ μὴ EP'. – μηδὲ pro μὴ FGIJK, Ald. – ταῦτα ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται pro ταῦτα.... καινὸν θ. – ὑγιαίνει H. — [6] ἡ δὲ νοῦσος θ. – γὰρ ὡς om. (H, γὰρ restit. al. manu) θ. – ὡς om. E. – βούλεται vulg. – βούληται GHIJK, Ald., Lind., Mack. – βούλῃ Eθ. – ὑγιὰ (sic) ποιῆσαι pro ἰῆσθαι θ. – χρὴ om. (H, restit. al. manu) θ. — [7] ποιῆσαι om. θ. – ἀπὸ τῆς H. – κάμνῃ θ. — [8] εἴ τε IJK. – ἥν τε τ. πρ. τινὰ om. θ. – προτέρω H. — [9] Post τὰ addunt γοῦν Lind., Mack. — [10] ἤγουν om. (H, restit. al. manu), Lind. – ἤτοι K. – ἤγουν δέκα μερίδας om. θ. – δῖος θ. – διὸς al. manu H. – τετρυμμένον G. – τετρυμένον EHJK. – περιπατησάτω θ. — [11] αἰεὶ πλείω ἑκάστης τῆς ἡμέρης pro ταύτης τῆς ἡμέρης θ, Mack. – δ' EH. — [12] δώδεκα FGJ, Ald. – προστιθεὶς (ὑποβαίνων EHP'Q', Lind.) μερίδα vulg.

une incision jusqu'au rein, et on évacuera le pus. Si l'on réussit dans l'incision, on obtient aussitôt la guérison. Les choses étant ainsi, on traitera le patient par tous les mêmes moyens que dans le cas précédent. Dès le début de la maladie, il faut évacuer et, avant l'évacuation, étuver. Il ne prendra pas des bains fréquents; mais plutôt il s'oindra et se gardera du froid; il ne s'exposera pas au soleil et s'abstiendra du coït. Si vous employez ces moyens et que le patient ne guérisse pas très-vite, il ne faut pas s'étonner; car la maladie est difficile. Voulez-vous traiter le malade sans médicaments? procurez-lui de l'embonpoint par le régime, soit qu'il ait cette maladie, soit qu'il ait l'une des précédentes : partagez ses aliments habituels, par exemple en dix parties; ôtez-en une, et qu'il mange les neuf autres, ayant pour mets de la viande de porc hachée, et, ce jour-là, qu'il fasse une marche de dix stades. Le lendemain et le surlendemain jusqu'au dixième jour, il mangera une partie d'aliments de moins chaque jour, et, chaque jour aussi, il marchera dix stades de plus. Quand il sera arrivé à la dernière part d'aliments et aux cent stades, il mangera cette part seule, et, ce jour-là, il fera les cent stades, quarante avant dîner, vingt après, et le matin quarante. Il boira du vin de Mendes, blanc, astringent. Il en fera autant pendant trois jours; puis, le reste du temps, il retranchera sur les marches, et augmentera les aliments de la même façon qu'il les avait

— [13] σταδίους ἢ πλείω vulg. – σταδίους ἢ πλείω προστιθεὶς K'. – σταδίους αἰεὶ ἢ πλείω E. – σταδίους αἰεὶ (additur ἢ al. manu) πλείω H. — [14] ὅταν FG JK. – δ' θ. – τὴν om. K. – δεκάτην pro ἐσχάτην θ. – τοῦ σιτίου om. θ. — [15] σταδίους βαδιζέτω καὶ (βαδιζέτω καὶ om. θ) ἐσθιέτω (καὶ ἐσθιέτω om., restit. al. manu H) τὴν vulg. – μοῦνον, al. manu μούνην, μερίδα H. – μούνην μερίδα E. – μόνην μερίδα θ. — [16] τοὺς om. EH. – σταδίους om. FGIJ. – πρὸ τοῦ δείπνου τεσσαράκοντα θ, Foes in not., Mack. – πρὸ τ. δ. τ. om. vulg. — [17] μὲν pro δὲ Lind. – ἑξήκοντα pro εἴκοσιν Calvus. — [18] μὲν παλαιὸν pro μένδαιον θ, Mack. – μενδαῖον EH. – μενδήσιον Lind. — [19] δὲ om. E. – ἡμέρας, al. manu μῆνας H. – μῆνας vulg. — [20] καὶ (καὶ om. Lind.) τῶν σ. vulg. – Cette correction est très-bonne. – τὸν δ' αὐτὸν Lind. — [21] οὕτως H. – δὲ (δὴ GIJK, Ald., Frob., Lind.; δὲ om. EHθ, Mack) vulg. – Ante πρ. addit καὶ Lind. – προστιθέτω EHQ'θ, Lind., Mack.

δὴ προστιθείς· [1]τῶν δὲ περιπάτων ἀφαιρείτω μέχρι τῶν δέκα ἡμερέων· ἔπειτα ἡσυχίην ἐχέτω ὡς μάλιστα, καὶ εὐωχεέσθω σιτία τε καθαρὰ καὶ ὄψα ὡς [2]πιότατα, καὶ τὰ γλυκέα πάντα ξύμφορα αὐτῷ· λαχάνων [3]δὲ καὶ ὀξέων πάντων ἀπεχέσθω καὶ τῶν ὀριμέων, καὶ ὁκόσα φῦσαν παρέχει· [4]λουέσθω τε πολλῷ καὶ θερμῷ, καὶ μὴ ῥιγούτω. Ταῦτ' ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται.

18. [5]Ἀπὸ δὲ νεφρίτιδος ἐπιλαμβάνει ἥδε ἡ νοῦσος [6]μεγάλη τῶν φλεβῶν τῶν κοίλων, αἳ τείνουσιν [7]ἀπὸ τῆς κεφαλῆς παρὰ τὰς σφαγὰς διὰ τῆς ῥάχιος ἐς [8]τὸ σφυρὸν τὸ ἐκτὸς τοῦ ποδὸς καὶ ἐς τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου. [9]Τὸ δὲ νούσημα γίνεται μὲν ἀπὸ φλέγματος καὶ χολῆς, ὁκόταν ἐς τὰς φλέβας [10]συῤῥυῇ· αἱ δὲ φλέβες αὗται αἵματός εἰσι πλήρεες· ἢν οὖν τι παρέλθῃ ἀλλοῖον ἐς αὐτὰς, νοσοῦσι. Τάδε οὖν πάσχει· ἢν ἐπὶ τὰ δεξιὰ νοσέῃ, ἄρχεται τὴν ὀδύνην παρέχουσα ἐκ τῆς κοτυληδόνος [11]τοῦ ἰσχίου κατ' ἀρχάς· ὁκόσῳ δ' ἂν πλείων χρόνος προΐῃ καὶ ἀπομηκύνηται, ἥ τε ὀδύνη ὀξυτέρη [12]καὶ κατέρχεται κατωτέρω, καὶ ὁκόταν ἐς τὸ σφυρὸν ἀφίκηται τὸ ἐκτὸς τοῦ ποδὸς [13]καὶ τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου, ἄρχεται πάλιν ἐς τὴν κεφαλὴν ἔρχεσθαι, [14]καὶ ὁκόταν ἐν τῇ κεφαλῇ στῇ τὸ ἄλγος, πιέζει ἰσχυρῶς, καὶ δοκέει ὁ ἄνθρωπος διαῤῥήγνυσθαι τὴν κεφαλὴν, καὶ οἱ ὀφθαλμοὶ [15]φλέγματος πληροῦνται καὶ τὸ πᾶν σῶμα. Τοῦτον, ὅταν οὕτως ἔχῃ, ἐλατήριον πῖσαι ἢ θαψίης ῥίζαν ἢ ἐλλέβορον ἢ [16]ὀπὸν

[1] Τὸν δὲ περίπατον vulg. – τῶν δὲ περιπάτων EHθ, Mack. – ἀφηρείτω EF GHIJK, Ald. — [2] πλεῖστα pro πιότατα θ. – Post πιότ. addunt ἐχέτω E, ἔχων θ. – αὐτῷ om. (H, restit. al. manu) θ. — [3] ἀπεχέσθω ponunt post δὲ EHθ. – Ante ὀξέων addunt τῶν Eθ. – πάντων om. (H, restit. al. manu) θ. – Post παρέχει addunt πάντων H, ἁπάντων θ. — [4] καὶ λουέσθω sine τε EH (θ, λούσθω). – δὲ pro τε Lind. – καὶ om. K. — [5] In tit. νοῦσος γινομένη ἀπὸ νεφρίτιδος EGHIJK. – ἐκ E (H, al. manu ἀπὸ) θ. – δὲ om. Kθ. – Ante νεφρ. addunt τῆς Hθ. – ἐπιλαμβάνει ponunt post νοῦσος GIJK. – ἡ δὲ (ἥδε EHIJKθ, Lind., Mack) (addunt ἡ EHIJθ, Lind., Mack) νοῦσος vulg. — [6] καί ἐστι μεγάλη θ. — [7] ἐκ E (H, al. manu ἀπὸ) θ. — [8] τὸν J. – ἐκ pro ἐκτὸς E. — [9] γίνεται μὲν (δὲ θ) τὸ νόσ. ἀπὸ Hθ. – εἰς IJ. — [10] ξ. Lind., Mack. – συρρῇ K. – παρέλθῃ EHKθ, Lind., Mack. – παρέλθοι vulg. – ταύτας θ. — [11] ἐς τὸ ἰσχίον θ. – ὁκόσῳ δὲ (δ' ἂν pro δὲ EHP'Q'θ, Lind., Mack) πλείω (πλείων K) ὁ (ὁ om., H restit. al. manu, θ, Mack) χρόνος vulg. – ἀπομηκύνεται GIJK, Lind. — [12] καὶ EHθ. – καὶ om. vulg. – εἰς IJK. – τὰ σφυρὰ E (H, al. manu). – ἐκ pro ἐκτὸς E. — [13] καὶ.... δακτύλου om. (H, restit. al. manu) θ. – ἐς τὴν ῥάχιν ἄρχεται πάλιν (πάλιν ἀνέρχεται θ) καὶ ἐς τὴν κεφαλὴν H (θ, sine ἔρχεσθαι). — [14] καὶ ὁκόταν ἐς αὐτὴν τὸ ἕλκος στῇ (στῇ τὸ ἕλκος IJK) vulg. – καὶ ὁκόταν

diminués; il accourcira les marches jusqu'au dixième jour; puis il gardera le repos le plus complet et fera bonne chère, mangeant du pain ou de la polenta sans mélange, des mets très-gras; toutes les choses douces lui sont bonnes; il s'abstiendra des herbages, de tous les acides, de toutes les choses âcres, de toutes les choses flatulentes; il se lavera avec beaucoup d'eau chaude, et ne prendra pas froid. En agissant ainsi, il sera bientôt guéri.

18. (*Maladie rhumatismale ayant de grandes ressemblances avec celle qui est décrite* § 51, *sous le nom d'*ἰσχιὰς, coxalgie. *La maladie est rattachée à l'affection de la grande veine droite qui, suivant l'opinion des plus anciens Hippocratiques, allait de la tête au pied droit. On remarquera le traitement par l'ivresse poussée jusqu'à produire l'épistaxis ou quelque autre flux sanguin.*) A la suite de la néphritide vient la grande maladie des veines creuses qui se rendent de la tête le long du cou par le rachis à la malléole externe du pied et à l'entre-deux du gros orteil. Cette maladie naît du phlegme et de la bile s'écoulant dans les veines; ces veines sont pleines de sang; si donc quelque chose d'étranger y pénètre, elles deviennent malades. Voici les accidents : si l'affection est à droite, la veine commence par causer de la douleur dans la cavité de la hanche; plus le temps dure et le mal se prolonge, plus la douleur devient aiguë; et elle descend plus bas; quand elle a gagné la malléole externe et l'entre-deux du gros orteil, elle gagne en sens inverse la tête. Arrivée là, elle devient très-accablante; il semble au malade qu'on lui fende la tête. Les yeux s'emplissent de pituite ainsi que tout le corps. Les choses étant ainsi, on fera prendre en potion l'élatérion ou la racine de

ἐν τῇ κεφαλῇ στῇ τὸ ἕλκος EHQ' (τὸ ἕλκος στῇ Lind.) (ἄλγος θ, Mack). – πιέζη J. – ὁ ἄνθρωπος om. (H, restit. al. manu) θ. – διαρρήσσεσθαι, al. manu γνυσθαι H. – διαρήσσειν θ. — [15] αἵματος θ. – φλ. om., restit. al. manu E. – πίμπλανται EHQ'θ, Lind. – καὶ τὸ πᾶν σῶμα om. θ. – ὁκόταν θ. – οὕτως ὅταν IJ. – πίσαι vulg. – θαψίας K. – ἐλλέβορον EHθ, Mack. – ἐλλεβόρου vulg. — [16] ὁποῦ FG. – σκαμωνίης J. – σκαμμονίης Ald., Frob. – ταὐτὰ K', Lind., Mack. – ταῦτα vulg.

σκαμμωνίης· μετὰ δὲ τὴν κάθαρσιν ταὐτὰ προσφέρειν, ἃ καὶ τοῖσι πρόσθεν. Ἢν δὲ μὴ ὑπὸ ταύτης τῆς θεραπείης παύηται, γάλακτι παχύνας καῦσαι [1] κάτω τὴν ὠμοπλάτην τὴν δεξιὴν τέσσαρας ἐσχάρας, καὶ ἐς τὴν [2] κοτυλίδα τοῦ ἰσχίου τοῦ δεξιοῦ τρεῖς, καὶ ὑπὸ τὸν γλουτὸν δύο, καὶ ἐν [3] τῷ μέσῳ τοῦ μηροῦ δύο, καὶ ὑπὲρ τοῦ [4] γούνατος μίην, καὶ ὑπὲρ τοῦ σφυροῦ μίην. Οὗτος, ἢν οὕτω καυθῇ, [5] οὐκ ἀφίησιν οὔτε ἄνω οὔτε κάτω τὴν νοῦσον διαχωρέειν. Ἢν δέ [6] κου ἡ ὀδύνη φθῇ ῥαγεῖσα, ἢν μὲν στηρίξῃ ἐς τὸ σκέλος πρὶν ἢ [7] καυθῆναι, χωλὸς ἔσται· ἢν δὲ ἐς τὴν κεφαλὴν, κωφὸς ἢ τυφλός· ἢν δὲ ἐς τὴν κύστιν, [8] προχωρέει ἅμα τῷ οὔρῳ αἵματος μάλιστα τεσσαράκοντα ἡμέρας. Ἀλλὰ χρὴ, ἢν ἐς τὴν κύστιν ῥαγῇ, διδόναι τὰ αὐτὰ φάρμακα, ἃ [9] καὶ τῷ στραγγουριῶντι· [10] καὶ ἤν κου ἄλλη ἡ ὀδύνη στῇ, καῦσαι· καίειν δὲ χρὴ [11] τὰ μὲν σαρκώδεα σιδηρίοισι, [12] τὰ δὲ ὀστώδεα καὶ νευρώδεα μύκησι. Πλὴν τάδε πρότερον τούτων χρὴ ποιῆσαι· ἢν κατ' ἀρχὰς τῇ νούσῳ παραγένῃ, [13] εἰς μὲν τὸ ποτὸν χρὴ διδόναι οἶνον λευκὸν Μένδαιον ὑδαρέστερον ὡς πλεῖστον μεθ' ἡμέρην, καὶ μεθυσκέσθω ἄχρις ἂν αἱμορραγήσῃ κατὰ τὰς ῥῖνας· [14] ὁκόταν δὲ ἄρξηται, ἐᾷν ῥυῆναι ἡμέρας τὸ ἐλάχιστον δέκα καὶ τρεῖς· ὅταν δὲ αὗται αἱ ἡμέραι [15] διέλθωσι, μηκέτι μεθυσκέσθω, [16] μηδὲ ὅταν ἄρξηται ἅπαξ ῥεῖν· πινέτω μέντοι ὀλίγῳ πλείονα τὸν οἶνον ἐπὶ σιτίῳ, ὅκως ἂν ῥέῃ τὸ αἷμα. [17] Ἤδη δέ τισι παυσαμένου τοῦ αἵματος, ἐῤῥάγη ἐς τὴν κύστιν καὶ ἐχώρησεν αἷμα καὶ πῦα· ἢν [18] γοῦν ῥαγῇ, διδόναι τὰ αὐτὰ

[1] Παρὰ pro κάτω θ. – ὠμοπλάτιν E. — [2] κοτυληδόνα vulg. – κοτυλίδα θ. Lind., Mack. – Gal. Gl. : κοτυλίδα, τὴν κοτύλην τοῦ ἰσχίου ἔν τε τοῖς προκειμένοις τῷ Μοχλικῷ κἂν τῷ δευτέρῳ Περὶ νούσων τῷ μείζονι. — [3] τῷ om., restit. al. manu H. — [4] γόν. EK. – καὶ ὑπὲρ τ. σ. μίην om. θ. — [5] οὐ παρήσει θ. — [6] ποῦ EFGHIJK. – ἐφθῇ vulg. – ὀφθῇ EFGHIJK, Ald., Frob., Lind., Mack. – C'est φθῇ qu'il faut lire. – Gal. Gl. : ῥαγεῖσα δηλοῖ ποτὲ καὶ τὸ ἀθρόως ὁρμήσασα, ὡς ἐν τῷ δευτέρῳ Περὶ νούσων τῷ μείζονι κτλ. – ἐς τὸ σκέλος om. (H, restit. al. manu) θ. – ἢ πρὶν pro πρὶν ἢ E. – ἢ om. (H, restit. al. manu) θ. — [7] καυθῇ E. – Post κ. addunt ἐς τὸ σκέλος EHθ. — [8] καὶ (καὶ om. Lind.) προχωρέει (προχωρέη GJ, Ald., Frob.) vulg. – La correction de Lind. est bonne. – Post οὔρῳ addunt καὶ θ, Mack. – μάλιστα om. θ. – ἡμέρησιν θ. — [9] καὶ ἐν τῷ EH. — [10] καὶ ἤν κου ἄλλη ἡ ὀδύνη στῇ θ, Mack. – καὶ ἤν κου (που EGHIJK) ἡ (ἡ om. G) ὀδύνη ἀλισθῇ (ὁλισθῇ Lind.; ἁλισθῇ I) vulg. — [11] ἐς μὲν τὰ EH. – ἐν σιδηρίοισι FGIJK. — [12] ἐς δὲ τὰ EHQ'. – μυκίνησι (E, al. manu μύκῃσι) FGHIJ, Vatic. exempl. ap. Foes, Ald. – πλὴν om., restit. al. manu H. – τούτων πρ. EHIJK. — [13] ἐς Lind. – οἶνον λευκὸν χρὴ (χρὴ om. θ) μενδαῖον (μενδαίον θ) διδόναι πίνειν ὀλίγῳ pro εἰς.... μέν-

thapsie ou l'hellébore ou le suc de scammonée; après l'évacuation on administrera les mêmes choses qu'aux précédents. Si ce traitement ne réussit pas, on lui donnera de l'embonpoint par le régime lacté, et on lui pratiquera quatre cautérisations au bas de l'omoplate droite, trois à la cavité de la hanche droite, deux à la fesse, deux au milieu de la cuisse, une au-dessus du genou, une au-dessus de la malléole. Un tel ensemble de cautérisations ne permet à la maladie de cheminer ni en haut ni en bas. Il peut arriver que la douleur, prévenant le traitement, aille faire explosion quelque part; se fixe-t-elle à la jambe avant la cautérisation? le patient sera boiteux; à la tête, il sera sourd ou aveugle; à la vessie, il rend avec l'urine du sang pendant quarante jours environ. Il faut, si l'explosion se fait sur la vessie, donner les mêmes médicaments qu'on donne dans la strangurie; et, si la douleur se fixe quelque part ailleurs, cautériser. On cautérisera les parties charnues avec des ferrements, les parties osseuses et nerveuses avec des champignons. Toutefois il faut préalablement faire ceci : êtes-vous appelé dès le début de la maladie? vous donnerez pour boisson le vin blanc de Mendes, coupé d'eau, et en grande quantité pendant le jour; le malade se grisera jusqu'à ce qu'il ait une épistaxis; quand le sang commence à couler, on laisse le flux durer au moins pendant treize jours; quand ces treize jours sont passés, le malade ne se grisera plus, ni même dès que le sang a commencé de couler; pourtant il boira, en mangeant, un peu de vin en excès afin que le sang flue. Chez quelques-uns il est arrivé que, le sang s'étant arrêté, l'explosion s'est faite sur la vessie, et le malade a rendu du sang et du pus. Dans ce cas on donne les mêmes

δαιον EHθ. – μενδήσιον Lind. – καὶ μεθυσκέσθω om. θ. – ὡς pro ἄχρις θ. – αἱμορραγίσῃ K. — [14] ὅταν δὲ ἄρξηται, ἐὰν ῥυῆναι ἡμέρας τὸ ἐλάχιστον τρεῖς καὶ δέκα θ. – ὁκόταν δὲ ἄρξηται ῥέειν, τὸ ἐλάχιστον ἡμέρας ῥέει δέκα καὶ τρεῖς vulg. — [15] γένωνται, al. manu διέλθωσι H. – διαγένωνται θ. — [16] μηδ' EH. – ὁκόταν H. – μέν τι pro μέντοι F. – ἐπὶ τῷ σιτίῳ K. — [17] ἤδη δὲ παυσθέντος τοῦ αἵματος ἐρράγη τισὶν ἐς τὴν κύστιν θ. — [18] οὖν EHK. – πολλὸν pro πλέον EH.

φάρμακα, ἃ καὶ τῷ στραγγουριῶντι, καὶ ἀπὸ τοῦ αὐτοῦ οἴνου διδόναι πλέον πιεῖν. Οὗτος [1] οὕτω μελετώμενος καὶ [2] τὰ σιτία προσφερόμενος διαχωρητικὰ καὶ τὰ ὄψα, τάχιστα ὑγιὴς ἔσται· ἡ δὲ νοῦσος χαλεπή.

19. [3] Ἄλλη ἀπὸ τῆς ἀριστερῆς φλεβός· τὰ μὲν ἄλλα πλῆθος τὰ αὐτὰ πάσχει, ἃ καὶ ὁ πρόσθεν· ἐς δὲ τὸν σπλῆνα ὀδύνη ἐνστηρίζει ὀξείη εὐθὺς καταρχὰς τοῦ νουσήματος· καὶ [4] ἢν μὲν ξυνίῃ παραχρῆμα πρὶν καταστηρίξῃ ἐς τὸν σπλῆνα, μύκησι καῦσαι ὀκτὼ ἐσχάρας, τὰς κεφαλὰς ἀπολαβὼν τοῦ σπληνὸς, ὡς τάχιστα· καὶ ὅκου ἂν [5] ἄλλῃ ἡ ὀδύνη καταστηρίξῃ, καῦσαι, καὶ οὕτω παραχρῆμα ὑγιὴς ἔσται. [6] Ἢν δὲ μὴ καυθῇ, ὑγιὴς δὲ γένηται ἀπὸ ταὐτομάτου, τοῖσι πολλοῖσι μετὰ δυοκαίδεκα ἔτη ἡ νοῦσος αὖθις ὑπετροπίασε, καὶ ἢν λάβηται τοῦ σπληνὸς, τοῖσι πολλοῖσιν ὕδερον ἐποίησεν. Ἀλλὰ χρὴ παραχρῆμα θεραπεύειν ὡς τὴν πρόσθεν, καὶ ἢν δοκέῃ, καῦσαι [7] ὥσπερ δὴ καὶ τὸν πρότερον, ἢν ἡ ὀδύνη καθεστήκῃ ἐν τοῖσιν αὐτοῖσιν ἄρθροισιν· ἢν δὲ μὴ οὕτω μελετηθῇ, τὸ λοιπὸν τηκόμενος θνήσκει· ἡ γὰρ νοῦσος χαλεπή.

20. [8] Περὶ δὲ τοῦ φλέγματος τὰς αὐτὰς γνώμας ἔχω, ἃς καὶ περὶ χολῆς, ἰδέας αὐτοῦ πολλὰς εἶναι. [9] Καὶ ἐπιδήμιον μέν ἐστι τὸ νεώτατον ἑωυτοῦ, καὶ ἡ ἴησις ῥάστη· ἐμέτους γὰρ [10] δεῖ ποιέεσθαι μετὰ τὸ σιτίον, ἡμέρας δύο ἢ τρεῖς προσαριστῶντα καὶ ἡσυχάζοντα, ἢν εἰώθῃ τὰς πρόσθεν ἡμέρας μονοσιτέειν καὶ ταλαιπωρέειν· [11] ἢν δὲ μὴ,

[1] Οὕτως GI. — [2] τὰ om., restit. al. manu H. – γίνεται EH. – γένοιτο θ. — [3] ἄλλη δὲ (H, δὲ obliter. al. manu) Iθ. – ἄλλη νοῦσος I. – στερῆς, al. manu ἀριστερῆς H. – φλεβὸς om. θ. – χειρὸς pro φλ. EJP′Q′. – [διὰ] πλήθους Lind. – ὀδύνη στηρίζει (στηρ. ὀδ. E; ἐνστηρίζει θ) vulg. – καὶ (καὶ om. EH) καταρχὰς vulg. – νοσ. EGIJK, Frob. — [4] ἢν (addunt μὴ FGHIJK, Ald., Frob., Lind., Mack; μὲν E) ξυνίῃ παραχρῆμα πρὶν καταστηρίξῃ (καταστηρίξει IK) ἀλλ' (κἀλλ' sic J) ἢ (ἢ EHIJK; ἴῃ Martinus) (ἀλλ' ἢ om. θ) ἐς (ἁλίσκει pro ἀλλ' ἢ ἐς Lind.) τὸν πνεύμονα (πλ. EH; σπλῆνα θ), (addit τοῦτον Lind.) μύκησι (μυκῆσι Frob.) καῦσαι vulg. – Je prends la leçon de θ. — [5] ἄλλῃ vulg. – Lisez ἄλλῃ. – ἡ θ. – ἡ om. vulg. – καταστηρίζῃ EH. – στηρίξῃ θ. — [6] εἰ H. – τοῦ αὐτομάτου EH. – πουλλοῖσι G, Frob. – πουλοῖσι Ald. – δυωκαίδεκα I. – δύο καὶ δέκα J. – δυοδεκάτω ἔτει sine μετὰ EH (θ, δωδεκάτω), (P′Q′, Lind., δυοκαιδεκάτῳ). – αὖτις EH. – ὑποτροπίασεν (sic) K. – ὑπετρ. καὶ ἢν λάβ. om. Ald. — [7] ὅπως περ H. – δὴ καὶ om. (H, restit. al. manu) θ. – ἕτερον θ. – ἡ om., restit. al. manu H. – φθειρόμενος E (H, al. manu τηκόμενος) P′Q′θ, Lind., Mack. — [8] In tit. περὶ τῶν τοῦ φλέγματος εἰδέων (EK, ἰδεῶν) GHIJ. – δὲ om. E. – χολῆς, καὶ (καὶ om. EHK) φημὶ τὰς (καὶ φημὶ τὰς om.

médicaments que dans la strangurie, et on fait boire copieusement du même vin. Le malade, ainsi traité et prenant des aliments de céréales et des mets relâchants, guérira très-vite. Mais la maladie est difficile.

19. (*Cette maladie est la même que la précédente; seulement elle est rattachée à l'affection de la grande veine gauche qui va de la tête au pied gauche.*) Autre maladie venant de la veine gauche : le patient éprouve en général les mêmes accidents que dans le cas précédent; mais une douleur aiguë se fixe à la rate tout d'abord dès le début de la maladie. Si vous comprenez sur-le-champ le mal avant qu'il s'établisse dans la rate, pratiquez au plus vite avec les champignons huit cautérisations qui interceptent les extrémités de la rate; et, en quelque autre lieu que la douleur se fixe, cautérisez, et vous rendrez aussitôt la santé au patient. S'il n'est pas cautérisé et qu'il guérisse spontanément, il arrive souvent qu'il y a une rechute au bout de douze ans; et, si le mal se porte sur la rate, il produit chez la plupart une hydropisie. Il faut donc sur-le-champ traiter comme dans le cas précédent, et, en cas qu'on le juge convenable, cautériser ainsi qu'il a été dit plus haut, si la douleur s'est fixée sur les mêmes parties. Quand le patient n'a pas été ainsi traité, il meurt de consomption; car la maladie est difficile.

20. (*Leucophlegmasie récente.*) J'ai sur le phlegme la même opinion que sur la bile, à savoir qu'il y en a plusieurs espèces. Le phlegme le plus récent est celui qui règne suivant la saison; et le traitement en est le plus facile. D'abord on provoquera le vomissement après le manger, le malade ayant soin pendant

θ) ἰδέας (εἰδέας sic IJ) αὐτοῦ (αὐτοῦ om. θ) (ἰδέας αὐτοῦ φημὶ sine τὰς E; ἰδέας φημὶ sine τὰς et sine αὐτοῦ, al. manu ἰδέας αὐτοῦ φημὶ H) πολλὰς vulg. — [9] καὶ τὸ μὲν ἐπιδήμιόν ἐστι, τὸ δὲ νεώτατον· οὗ (οὗ om., restit. al. manu H) καὶ ἡ vulg. – καὶ ἐπιδήμιον μέν ἐστι τὸ νεώτατον ἑωυτοῦ, καὶ ἡ θ. — [10] χρὴ EH. – μετὰ σῖτον, al. manu τὸ (sic) H. – σῖτον FGJ. – προαριστῶντα E. – εἰώθει K. – εἰωθεν θ. – μονοσιτέεσθαι H. – ταλαιπωρεῖν E. – ταλαιπωρέεσθαι θ. — [11] ἢν (εἰ EH) δὲ μὴ, τοιαύτῃ (τῇ αὐτῇ EH) διαίτῃ χρεέσθω (χρήσθω K)· πρῶτον (πρῶτον om., H restit. al. manu, θ; πρῶτα E) λουέσθω (λούσθω HIK) (addit δὲ θ) πολλῷ vulg.

τῇ αὐτῇ διαίτῃ χρεέσθω, λουέσθω δὲ πολλῷ καὶ θερμῷ, ὁκόταν μέλλῃ ἔμετον ποιέεσθαι· [1]καὶ ἐσθιέτω μᾶζαν ψαιστὴν, καὶ ἄρτον ἕξοπτον ἕωλον· ἕλκοι γὰρ ἂν μᾶλλον ταῦτα τὸ φλέγμα· ὄψοισι δὲ χρεέσθω καὶ λαχάνοισι ὁριμέσι, καὶ τὰ λιπαρὰ [2]καὶ τὰ γλυκέα καὶ τὰ ὀξέα, ταῦτα πάντα ἐπιτήδεια [3]ξυμμεμιγμένα προσφέρεσθαι· [4]καὶ τοῖσι λαχάνοισι πᾶσι χλωροῖσι χρεέσθω, καὶ πινέτω ἐπὶ τῷ σιτίῳ ὀλίγον πυκινὰ οἶνον γλυκὺν, καὶ πλακοῦντος ἐπιφαγέτω ἐπὶ τελευτῆς καὶ μέλι καὶ σῦκα, καὶ ὁκόταν δειπνήσῃ, πινέτω λαύρως τὰς κύλικας, καὶ ὁκόταν [5]ἤδη πλήρης ᾖ, κατακοιμηθήτω ὀλίγον, εἶτα ἐπεγερθεὶς ἐμεέτω πιὼν οἴνου μεγάλην κύλικα καὶ [6]ἐν χλιερῷ ὕδατι κεκρημένην· ἕλκει γὰρ μᾶλλον τὸ φλέγμα ἐκ τῶν σαρκῶν [7]καὶ τῶν φλεβῶν, καὶ ξηραίνει μᾶλλον τὸ σῶμα· ἐξεμεέτω δὲ ἕως ἂν τὰ σῦκα ἐξεμέσῃ, ὕστατα γὰρ ταῦτα ἐξεμέεται. [8]Ταῦτα μὲν τῇδε· τῇ [9]δὲ ὑστεραίῃ ξυνεχέτω ἑωυτὸν μέχρι δείπνου, καὶ δειπνεέτω ἄρτον αὐτοπυρίτην· [10]τὸ δὲ ὄψον ἔστω ἀπὸ τῶν ἰσχυροτέρων· οἶνον δὲ πινέτω μέλανα αὐστηρόν. Αὕτη μὲν οὖν τοῦ ἐπιδημίου φλέγματος ἡ ἴησις. [*]Ἢν δὲ δυνατὸς ἐὼν ἐσθίειν καὶ πίνειν [11]ἥδηται τοῖσι σιτίοισιν, εἶτα τὰ σκέλεα βαρύνοιτο, [12]καὶ ἡ χροιὴ μετηλλαγμένη ᾖ, τούτῳ φάναι ἐν τῇ κοιλίῃ φλέγμα τὸ λυπέον εἶναι. Ἀλλὰ χρὴ, ὁκόταν οὕτως ἔχῃ, μέλιτι καὶ οἴνῳ γλυκεῖ καὶ ἐλαίῳ νίτρου ὁκόσον οἷός ἀστράγαλον παραμίξας κλύζειν· ταῦτα γὰρ τῇ φύσει [13]τοῦ ἀνθρώπου εὐμενέστατα ἐς τὸν κλυσμόν· μέτρον δὲ χρὴ ἑκάστου εἶναι, τοῦ μὲν οἴνου κοτύλην, ἡμικοτύλιον δὲ ἐλαίου, καὶ μέλιτος ἴσον. [*]Ἢν δὲ μὴ κλύζειν βούλῃ,

[1] Καὶ μᾶζάν τε ἐσθιέτω EH (θ, τ'). – ψεστὴν vulg. – ψαιστὴν EK', Lind., Mack. – Gal. Gl. : ψαιστὴν μάζαν, τὴν μέλιτι καὶ ἐλαίῳ πεφυραμένην· ὅτι καὶ τὰ ψαιστὰ οὕτως δεύεται. – ἕλκει vulg. – ἑλκοῖ HIJK. – ἕλκοι E. – ταῦτα om., restit. al. manu H. — [2] καὶ τὰ ὀξέα καὶ τὰ γλυκέα K. – καὶ ὀξέα vulg. – καὶ τὰ ὀξέα Lind., Mack. — [3] σ. IJK. – προσφερέσθω Lind. — [4] καὶ πᾶσι χλ. τοῖσι λαχ. EH. – τὸ σιτίον K. – πυκνὰ Lind. – πλακοῦντας E (H, al. manu, erat prius πλακοῦντα). – πλακοῦντα θ, Mack. – σύκα HJ. – λάβρως EH. – λαύρω J. — [5] ἤδη om. E. – ἔπειτα θ. — [6] ἐν EFG (H, al. manu) IJKθ, Ald., Lind., Mack. – ἐν om. vulg. – χλιερῷ, al. manu χλια H. – χλιαρῷ vulg. — [7] καὶ τὸν χυμὸν vulg. – καὶ τῶν φλεβῶν E. – ξηραίνοι IJ. – ξηραίνοιτο θ. – ξηραίνοιτο ἂν τὸ EH. – ταῦτα om. θ. – τὰ σύκα pro ταῦτα H. — [8] [καὶ] ταῦτα Lind. – μὲν τῇδε om. θ. — [9] δ' EH. – ἐν ἡσυχίῃ ἐχέτω θ. – συνεχέτω vulg. – ξ. G, Lind. – ἑαυτὸν E. – δειπνεέτω δὲ sine καὶ EHQ'. – ἄρτον τὸν αὐτὸν πυρὶ FG (H, al. manu αὐτοπυρίτην) IJ (K, Ald., πυρίτην pro πυρί). – ἄρτον τὸν E. — [10] ὄψον δὲ ἐχέτω sine τὸ EHP'Q'θ, Lind., Mack. – ἀπὸ om. EH. — [11] καὶ ἥδεται vulg. – Il faut supprimer ce καὶ, né du voisinage des autres καὶ, et

deux ou trois jours de déjeuner et de garder le repos, s'il avait l'habitude de ne faire qu'un repas et de travailler; sinon, il suivra le même régime, mais il se lavera avec beaucoup d'eau chaude, au moment de procurer le vomissement. Il mangera de la polenta pétrie avec le miel et l'huile, un pain bien cuit de la veille; ces substances attirent en effet davantage le phlegme; il prendra des mets et des légumes âcres, les choses huileuses, les choses douces, les choses acides; toutes, mélangées, lui conviennent; il mangera de tous les légumes verts. Il boira, par-dessus, en petite quantité et souvent un vin doux; à la fin, il mangera du gâteau, du miel, des figues; en dînant, il videra largement les verres, et, étant rempli, il dormira un peu; puis, réveillé, il vomira, avalant un grand verre de vin coupé d'eau tiède; car c'est ainsi que le phlegme est mieux attiré hors des chairs et des veines et que le corps est mieux desséché. Il vomira jusqu'à ce qu'il rende les figues; car elles sortent les dernières. Voilà pour cette fois; le lendemain, il se tiendra tranquille jusqu'au dîner, où il mangera du pain bis; pour mets il aura des substances fortes; il boira un vin noir astringent. Tel est le traitement du phlegme qui règne par saison. Si, conservant la faculté de boire et de manger, le malade prend avec plaisir les aliments, puis s'il se sent les jambes lourdes, et qu'il ait la couleur changée, dites que ce qui cause son mal c'est du phlegme dans le ventre. Les choses étant ainsi, prenez du nitre gros comme un osselet de mouton, mêlez avec du miel, du vin doux et de l'huile, et faites un lavement; ces substances sont en effet ce qu'il y a de plus doux en lavement pour le corps humain; les doses sont, vin une cotyle,

lire ἥδηται. — [12] κἂν vulg. – καὶ θ, Mack. – μετηλαγμένη E. – οὕτω E. – Ante μέλιτι addunt ζεῖν EP'; καὶ ζεῖν H. – ἐλαίου J. – καὶ νίτρου vulg. – Il faut effacer ce καὶ, né du voisinage des autres καί. – ὅσον K. – ὁκόσον om. E. – **Post ὁκόσον addunt κλείει (E, κλύει, al. manu κλύζει) FGHIJK, Ald. – δῖος Lind., Mack. – ἀστράγαλος vulg. – ἀστράγαλον E. – παραμίξας ponunt ante ὁκόσον (E, et eadem manu post ἀστρ.) (H, al. manu post ἀστρ.). – κλύζειν om. EFGHIJK, Ald. — [13] εὐμενέστατα τῶν ἀνθρώπων (EJK, τοῦ ἀνθρώπου HI. – εἰς vulg. – ἐς EHK.**

δίυγρον χρὴ [1]τὸν ἄνθρωπον ποιῆσαι, πυρήσαντα ἐν ὑγρῇ τῇ πυρίῃ· τάχα γὰρ ἂν καὶ οὕτως ὑποκενωθείη ἡ κόπρος· ὑπὸ γὰρ τῆς [2]ὑπερξηρασίης τῶν σιτίων ταῦτα πάσχει· ἢν μὲν οὖν τις ἐσθίῃ τὰ σιτία λίην ἔγχυλα, οὐκ ἂν ἴσως πάσχοι ταῦτα οὕτω σφόδρα· [3]εἰ δὲ καὶ πάσχοι ποτὲ, ὀλίγης ἂν ἰήσιος δέοιτο. Τοῦτο οὕτως ἰώμενος τάχιστα ἂν ὑγιέα ποιήσαις.

21. [4]Ἢν δὲ τύχῃ παλαιότερον ἐὸν τὸ φλέγμα, λευκὸν δὲ καλέεται τοῦτο τὸ φλέγμα, πάσχει τάδε· βαρύνει τὸν ἄνθρωπον μᾶλλον, καὶ ἰδέην ἀλλοίην ἔχειν τοῦ ἐπιδημίου δοκεῖται, ὠχρότερός τέ ἐστι, [5]καὶ οἰδέει οἰδήματι πᾶν τὸ σῶμα, καὶ τὸ πρόσωπον ἐρεύθει, καὶ τὸ στόμα ξηρὸν, καὶ δίψα [6]ἐπέχει, καὶ ὁκόταν φάγῃ, τὸ πνεῦμα πυκνὸν ἐπιπίπτει αὐτῷ· οὗτος τῆς αὐτῆς ἡμέρης ποτὲ μὲν γίνεται ῥάων, ποτὲ δὲ πονέει ἐξαπίνης, καὶ δοκέει ἀποθανέεσθαι. Τούτῳ ἢν μὲν ἡ γαστὴρ [7]αὐτομάτως ταραχθῇ, ἐγγυτάτω ὑγιὴς ἔσται· ἢν [8]δὲ μὴ ταραχθῇ αὐτομάτη ἡ κοιλίη, καθαίρειν δεῖ διδόντα τοῦ κνεώρου ἢ τοῦ ἱππόφεω ἢ τοῦ κνιδίου κόκκου ἢ τῆς Μαγνησίης λίθου, καὶ μετὰ τὴν κάθαρσιν φακῆς δοῦναι τρυβλίον ῥοφέειν ἓν ἢ δύο, [9]συνεψέσθω δὲ ἐν τῇ φακῇ σκόροδα, καὶ τεύτλου λιπαροῦ ἀνηδύντου, ἀλφίτων περιπάσσοντα, δοῦναι τρυβλίον· πινέτω [10]δὲ οἶνον μέλανα αὐστηρόν τε καὶ ἰσχυρόν. Τῇ δὲ ὑστεραίῃ [11]βαδιζέτω σταδίους εἴκοσι τὸ ἑωθινόν· ἐλθὼν δὲ φαγέτω ἄρτον μικρὸν ἑξόπτον, καὶ ὄψον ἐχέτω σκόροδα ἑφθά· καὶ πινέτω τοῦ αὐτοῦ οἴνου ὀλίγον ἀκρητέστερον· εἶτα βαδιζέτω σταδίους τριήκοντα, καὶ ὁκόταν ὥρη [12]ᾖ, δειπνεέτω ὁκόσον

[1] Καὶ μελίκρητον δίδου ΕΗΚθ. – ἢ (ἢ om., restit. al. manu Π) αὐστηρὸν **vulg. – Ante ὁκ. addit ἢ θ. — [2] ἢν ΕΗ. – συμφ. ΕΗθ. – ταῦτα vulg. – αὐτὰ θ. – ταὐτὰ Lind., Mack. – τῷ om., restit. al. manu H. – τῆς δὲ ὀδύνης ἕνεκα θ. — [3] ὑγρὸν vulg. – ὠχρὸν ΕΗθ, Mack. – παραχέας (παραχέαι θ, Mack) τε (τε om. ΗΚθ) vulg. – στρύχνον GJ. – ἡμικοτύλου (sic) J. — [4] ἡμικοτυλίου EGHI Jθ. – δὲ διεὶς ΕΗΚ. – παύσεις θ. — [5] δ' sine καὶ θ. – τέως θ. — [6] δὲ om. J. – ὅβολον pro ὄροβον θ. – οὕτω J. – οὕτως vulg. – νῆστιν θ. — [7] διδ. φάρμ. εἵνεκα om., restit. al. manu H. – διδόμενα τῆς ὀδύνης φάρμακα θ. – Ante εἵνεκα repetit διδόμενα E. – αἴγειον θ, Mack. – μὲν pro μέλιτος EGHJ, Ald. — [8] τέως θ. – ἂν om. K. – ἐν ταύτῃσι γὰρ ἀποδηλοῖ θ, Mack. – δηλοῖ, al. manu δηλοῦται H. – ἢν pro εἰ ΕΗΚ. – θανάσιμον FGJ. — [9] προστίθηται Q'θ, Lind., Mack. – μέλι καὶ ὕδωρ καὶ ὄξος καὶ ἅλας θ, Mack. – καὶ ὄξος Lind. – καὶ ἅλας E (H, καὶ al. manu) K, Lind. — [10] εἰς HIJK. – κλονίησι H. – σὺν**

gent, suivant la convenance, et les potages qu'on prescrit aux pleurétiques. Pour la douleur, voici ce qu'il faut faire boire : prenez le jaune d'un œuf de poule cuit, écrasez-le, versez une demi-cotyle de suc de strychnos (*solanum dulcamara*) et un quart de cotyle de mélicrat étendu d'eau; délayez et faites boire. Cette préparation calmera la douleur; on la donne chaque jour jusqu'à ce que la douleur soit calmée. Il boira aussi ceci : prenez gros comme un grain d'ers de suc de silphion, pilez de l'origan, délayez dans du vin blanc; cela se donne à jeun. Il prendra aussi les médicaments qui se donnent dans la pleurésie pour la douleur. Il prendra du lait de chèvre, à la dose de quatre cotyles, avec mélange d'un tiers de miel ; cela se prend le matin, quand on ne prend pas les autres remèdes. Il s'abstiendra des aliments jusqu'à ce que la maladie soit jugée; elle se juge surtout en sept jours, car c'est dans cet intervalle que l'on voit si elle est mortelle ou non. S'il s'y joint de la suffocation, on donnera, afin qu'il vomisse, la préparation suivante : prenez du miel, de l'eau, du vinaigre et du sel, mêlez, versez dans un pot neuf, puis chauffez et remuez avec des branches de l'origan à tête ayant sa graine; quand cela est chaud, on le donne à boire chaud, puis on couvre le patient de couvertures et on le laisse en repos, afin qu'il sue abondamment; quand le vomissement vient, il vomira sans hésiter, titillé avec une plume; s'il ne peut pas vomir, il avalera une tasse contenant deux cotyles de mélicrat tiède et vomira ainsi; s'il vomit un peu de bile ou de phlegme, il recommencera au bout de quatre heures, car cela sera utile. Après la crise de la maladie, vous traiterez le patient en don-

EHIJK. – χλιαρὸν (χλ. om. θ) vulg. – χλιαιρὸν H. — [11] ἐπιβαλὼν θ. – βαλὼν J. – ἕως ἂν ἰδρώσῃ (ὑδρώσῃ G, Ald.) vulg. – ὅκως ἂν ἰδρῶ θ. — [12] Post ὁκ. addit μὲν E. – ἔχῃ αὐτὸν EHK. – καταματευόμενος EJ. – τῷ πτερῷ θ. — [13] ἢν δὲ μὴ ἔμετος ἔχῃ θ. – ἐμέσῃ, al. manu δύνηται ἐμέσαι H. — [14] χλιηροῦ EHK. – οὕτω H. — [15] ἡμέρας, supra lin. ὥρας G. – Ante καθαρὰ addunt ταῦτα δὲ καὶ EH (θ, sine καὶ), Ald. – καὶ ἢν θ. – φιλέει H. – ὡς om., restit. al. manu H. — [16] καθαρὸν om. (H, restit. al. manu) θ. – κρέα om. EFGHJ. – πελιάδος GI, Ald. – Post νεοσσοῦ addit χρεέσθω δὲ θ, Lind., Mack. – γαλαίῳ vulg. – γαλεῷ HK, Lind., Mack. – γαλεῶν E. – τριγόνι G, Ald.

ἄτριπτον ἐσθιέτω, πρότερον προφυρήσας· ὄψον δὲ ἐχέτω κρέα σκυλακίου ἑφθὰ ἢ πελειάδος ἢ ἀλεκτορίδος νεοσσοῦ, ἑφθοῖσι πᾶσιν· ἰχθύων δὲ γαλεῷ, νάρκῃ, τρυγόνι [1]τε καὶ βατίσι τῇσι μικρῇσι, πᾶσιν ἑφθοῖσι· λουέσθω δὲ καὶ ἡμέρης ἑκάστης, καὶ τὸ ψῦχος φυλασσέσθω, καὶ περιπατεέτω ὀλίγα [2]τέως ἐν ἀσφαλείῃ. Ταῦτα δὴ ἢν φυλάσσηται, οὐχ ὑποτροπιάσαι τὴν νοῦσον δέος πάλιν· [3]καὶ γὰρ ἡ τοιαύτη νοῦσος χαλεπή ἐστι καὶ χρονίη.

28. Ἄλλη [4]ἡπατῖτις· αἱ μὲν ὀδύναι πιέζουσι κατὰ τὰ αὐτὰ ἐς τὸ ἧπαρ, καὶ ἡ [5]χροιὴ διαφέρει τῆς πρόσθεν, σιδιοειδὴς γάρ ἐστιν. [6]Ἐν δὲ τῷ καιρῷ τοῦ θέρεος μάλιστα ἐμπίπτει· [7]γίνεται δὲ ἀπὸ κρεηφαγίης βοείων κρεῶν καὶ ἐξ οἰνοφλυγίης· ταῦτα γὰρ πάντα πολεμιώτατα ταύτην τὴν ὥρην τῷ ἥπατι, καὶ χολὴν μάλιστα προσίστησι πρὸς τὸ ἧπαρ. Τάδε οὖν πάσχει· ὀδύναι ὀξεῖαι ἐπιπίπτουσι, καὶ οὐκ ἐκλείπουσιν [8]οὐδεμίην ὥρην, ἀλλ' αἰεὶ μᾶλλον πιέζουσιν· ἔστι δ' ὅτε καὶ ἐμέει χολὴν ὠχρὴν, καὶ ὁκόταν ἐμέσῃ, ἐπ' ὀλίγον δοκέει ῥᾴων εἶναι· ἢν δὲ μὴ ἀπεμέσῃ, [9]ἐς τοὺς ὀφθαλμοὺς ἡ χολὴ καθίσταται, καὶ ὠχροὶ γίνονται σφόδρα, καὶ οἱ πόδες οἰδέουσι. Ταῦτα πάσχει ποτὲ μὲν σφόδρα, ποτὲ δὲ ἧσσον· ὁκόταν [10]δὲ αἱ ἡμέραι παρέλθωσιν ἐν ᾗσι κρίνεται τὸ νούσημα, ὅ τε πόνος ἐλάσσων ἔχῃ, ἀναμάρτητον διαιτῆσθαι χρὴ τοιαύτῃ διαίτῃ, ᾗ καὶ πρόσθεν· ἢν γὰρ μεθυσθῇ παρὰ καιρὸν ἢ λαγνεύσῃ ἢ ἄλλο τι ποιήσῃ μὴ ἐπιτήδειον, τὸ ἧπαρ παραχρῆμα γίνεται [11]σκληρὸν αὐτέῳ, καὶ οἰδέει, καὶ σφύζει ὑπὸ τῆς ὀδύνης, καὶ ἤν τι σπεύσῃ, πονέει ἐξαπίνης τὸ ἧπαρ καὶ τὸ σῶμα ἅπαν. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ [12]καὶ αἱ πρῶται ἡμέραι

[1] Δὲ pro τε EHK. – βαττίσι EK. – τοῖσι μικροῖσι GIJ. – καὶ λουέσθω sine δὲ καὶ EHK. – ἐκ. ἡμέρης H. — [2] ἕως θ. – Post ἀσφ. addit ᾗ Lind. – αὐτὰ pro ταῦτα θ. – δὴ om., al. manu δὲ H. – δὲ E. – οὐκ vulg. – οὐχ EIK, Ald. – ὑποτροπιάσει πάλιν ἡ νοῦσος EHKθ. — [3] ἡ γὰρ sine καὶ EHKθ. – τοιαύτη om. EKθ. – νοῦσος τοιαύτη H. – ἐστι om. EHK. — [4] ἥπατος θ. – κατὰ pro ἐς θ. — [5] χρονίη FG. – εἰδιοειδὴς FGH. – σηδιοειδὴς I. – εἰδιοδὴς (sic) E. – ἰδιοειδὴς J. – Gal. Gl. : σιδιοειδεῖς, ὠχρὰς ὡς σίδιον. — [6] τοῦ δ' ἔτεος, ἦρος μάλιστα ἡ νοῦσος ἐπιπίπτει θ. – Ante ἐμπ. addunt ἡ νοῦσος EHKQ', Lind., Mack. — [7] γίνεται δὲ μάλιστα ἐκ EHKQ'. – κρεωφαγίης GJ, Lind., Mack. – κρεοφαγίης vulg. – κρεηφαγίης EHIK. – πάντα τὴν τοιαύτην τοῦ ἔτους (ἔτεος Lind.) ὥρην πολ. τῷ ἥπατι vulg. – πάντα πολ. ταύτην τὴν ὥρην τῷ ἥπατι EHKθ. – καὶ χολὴ μάλ. προσίσταται θ. — [8] οὐδ. ὥρην om. (H, restit. al. manu). – ἐμπίπτουσιν pro πιέζουσιν θ. – δοκέη G, Ald., Frob. – εἶναι om., restit. al. manu H. — [9] εἰς J. – καὶ οἱ πόδες.... σφόδρα om. FGIJ. — [10] δὲ

nant peu d'aliments de céréales et non mélangés; s'il a l'habitude de manger du pain, il mangera du pain chaud aussi pur que possible; si c'est de la polenta, il la mangera non pilée, mais préalablement pétrie; pour mets, il aura la viande bouillie de jeune chien, de pigeon ou de poulet, tout cela bouilli; en fait de poissons, la mustèle (*un squale*), la torpille, la pastenague, les petites raies, tout cela bouilli; il se baignera chaque jour, évitera le froid, et marchera un peu jusqu'à ce qu'il soit en sûreté. S'il observe ces prescriptions, il n'y a pas à craindre que la maladie récidive; de fait, une telle maladie est difficile et de longue durée.

28. (*Autre hépatite.*) Autre hépatite : les douleurs se font sentir de la même façon au foie; la couleur diffère du cas précédent, elle est celle de la grenade. Cette maladie attaque surtout en été; elle vient quand on se nourrit de viande de bœuf et qu'on fait excès de vin, car c'est ce qui est le plus contraire au foie en cette saison et ce qui y fixe le plus la bile. Voici les accidents : des douleurs aiguës se font sentir; elles ne quittent pas un seul moment, et sont sans cesse plus accablantes. Parfois, le patient vomit de la bile jaune; quand il a vomi, il lui semble pour un moment être mieux; s'il ne vomit pas, la bile se porte aux yeux, qui jaunissent fortement. Les pieds enflent. Ces accidents sont tantôt violents, tantôt moindres. Quand sont passés les jours où se juge la maladie, et que la souffrance a diminué, il faut observer sans aucune transgression le régime indiqué précédemment; en effet, si le patient s'enivre à contre-temps, ou se livre au coït, ou commet quelqu'autre irrégularité, le foie devient dur aussitôt, il se gonfle; des battements s'y font sentir par la force de la douleur; et au moindre effort on souffre sans retard dans le foie et dans tout le corps.

om. E. – νόσ. EHK. – ἐλάσσων θ. – ἐλάττων, al. manu ττόνως H. – ἐλαττόνως vulg. – ἔχῃ (ἔχει E), ἦν (ἦν om. θ) ἀναμάρτητος (ἁμάρτητος, al. manu ἀναμ H; ἀναμάρτητον θ) ᾖ (ᾖ om. θ), διαιτεῖσθαι (διαιτῆσθαι EGHIJK, Ald., Frob.) vulg. — [11] αὐτοῦ σκληρὸν θ. – ἀπὸ FGQ'. — [12] ὁκόταν pro καὶ θ. – τῇ σκαμμωνίῃ θ.

παρέλθωσι, πυριῆσαι, εἶτα ὑποκαθῆραι τῷ σκαμμωνίῳ· ἢν δὲ ἡ κοιλίη [1] ξυγκεκαυμένη ᾖ, κλύσαι ἐν τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τοὺς πρόσθεν, ὅ τι ἄξει καλῶς· καὶ μετὰ τὸν κλυσμὸν ὀνείῳ γάλακτι ἑφθῷ ὑποκαθῆραι ὀκτὼ κοτύλῃσι, μέλι δὲ παραχέων διδόναι πίνειν· διδόναι δὲ καὶ [2] τὸ αἴγειον γάλα, τρίτον μέρος μελικρήτου παραμίσγων, τὸ ἑωθινὸν, τετρακότυλον κύλικα· διδόναι δὲ καὶ ἑφθοῦ τοῦ αἰγείου δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων, [3] ἢ αὐτὸ μοῦνον μέλι παραχέων· διδόναι δὲ καὶ τὸ ἵππειον γάλα τὸν [4] αὐτὸν τρόπον τῷ ὀνείῳ. Κἢν μὲν ὑπὸ τούτων μελετωμένη ἡ νοῦσος ἐξέλθῃ, ἅλις· [5] ἢν δὲ μὴ, τάμνειν τοῦ δεξιοῦ ἀγκῶνος τὴν εἴσω φλέβα καὶ ἀφιέναι τοῦ αἵματος· ἢν δέ σοι μὴ δοκέῃ ὀνείῳ γάλακτι ὑποκαθῆραι, [6] βοείου γάλακτος ὠμοῦ διδόναι δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων, ἑκάστης ἡμέρης [7] ἐπὶ ἡμέρας δέκα· εἶτα ἄλλας [8] δέκα, ἕκτον μέρος τοῦ μελικρήτου παραχέων, πίνειν διδόναι· [9] τὸ δὲ γάλα αὐτὸ τὸ λοιπὸν διδόναι, ἕως ἂν ἀναπιανθῇ, δύο κοτύλας. [*] Ἢν δὲ μηδὲ οὕτω παύηται, καῦσαι χρὴ, ὁκόταν μέγιστον τὸ ἧπαρ [10] γένηται καὶ ἐξεστήκῃ μάλιστα· καῦσαι δὲ ἐν πυξίνοισιν ἀτράκτοισι, βάπτων ἐς ἔλαιον ζέον, προστιθέναι [11] δὲ ἕως ἄν σοι δοκέῃ καλῶς ἔχειν καὶ κέκαυσται, ἢ μύκησιν ὀκτὼ ἐσχάρας καῦσαι· ἢν γὰρ τύχῃς καύσας, ὑγιέα ποιήσεις, καὶ τὸν λοιπὸν [12] χρόνον ῥᾷον διάξει· ἢν δὲ μὴ τύχῃ καυθεὶς, ὑπὸ τῶν ἄλλων λοιπὸν ὑγιὴς μὴ γενόμενος, φθειρόμενος ἀποθνήσκει.

29. [13] Ἡπατῖτις ἄλλη· τὰ μὲν ἄλλα πλῆθος τὰ αὐτὰ πάσχει τοῖσι πρόσθεν· ἡ δὲ χροιὴ μέλαινα· τοῦ δὲ ἥπατος ἡ χολὴ φλέγματος καὶ αἵματος πλησθεῖσα, ὡς λογιζόμεθα, διαῤῥήγνυται, καὶ ὁκόταν [14] διαῤῥηχθῇ, τάχιστα μαίνεται, καὶ ἀγανακτεῖ, καὶ διαλέγεται ἀσύ-

[1] Σ. EHIJK. – ἐν om. EHKθ, Mack. – κλισμὸν Ald. — [2] τὸ.... παραμίσγων om., restit. al. manu E. – γάλα om. (H, restit. al. manu) θ. – παρασμίγων J. — [3] ἢ.... παραχέων om. θ. – μόνον vulg. – μοῦνον EHK, Lind. — [4] ὦυτὸν EHKQ'. – Ante ἡ addit μὲν H. — [5] εἰ EHK. — [6] ἢ (ἢ om., E restit. al. manu, FGHIJK, Vatic. exempl. Ald.) βοείῳ (βοείου FGP'θ, Vatic. exempl., Ald., Lind., Mack) καὶ (καὶ om., E restit. al. manu, FGHIJKP'θ, Vatic. exempl., Ald., Lind., Mack) γάλακτος vulg. – ἡμέρας I. — [7] ἐφ' θ. — [8] δώδεκα (δυώδεκα E) vulg. – δέκα (H, al. manu βδεκα) θ. – ἕκτον μέρος om. θ. – παραμίσγων θ. — [9] τὸ δὲ λοιπὸν αὐτὸ τὸ γάλα ἕως ἂν πιανθῇ θ. – μηδ' EHK. — [10] ἢ (H, al. manu γένηται) θ. – ἐξεστήκει G, Ald., Frob., Lind. – καῦσαι δὲ ἐν om. (E, restit. al. manu sine ἐν) H. – πιξίνοισιν IJ. – βάπτον J. — [11] δ' EH. – κεκαύθαι (sic) L, Lind. – κεκαῦσθαι Mack. – ἢ om., restit. al. manu H. –

Quand les choses sont ainsi et que les premiers jours sont écoulés, on fait passer à l'étuve, puis on évacue avec la scammonée; si le ventre est échauffé, on administrera un lavement préparé comme pour les cas précédents et qui évacue bien; après le lavement on purgera avec le lait d'ânesse cuit, bu à la dose de huit cotyles, avec addition de miel. On donnera aussi le lait de chèvre, avec addition d'un tiers de mélicrat, le matin, une tasse de quatre cotyles. On donne encore le lait de chèvre cuit, à la dose de deux cotyles, en y mêlant un tiers de mélicrat ou même le miel seul. On donne, de même que le lait d'ânesse, le lait de jument. Si la maladie, traitée par ces moyens, se dissipe, très-bien; sinon, ouvrez la veine interne du pli du bras droit et tirez du sang. Dans le cas où vous ne voudriez pas purger avec le lait d'ânesse, donnez deux cotyles de lait de vache cru, avec addition d'un tiers de mélicrat, chaque jour, pendant dix jours; puis dix autres jours, avec addition d'un sixième de mélicrat. Le reste du temps on donnera le lait seul, à la dose de deux cotyles, jusqu'à ce que le patient reprenne de l'embonpoint. Si même ces moyens ne réussissent pas, il faut cautériser quand le foie est devenu très-gros et fait saillie; on cautérisera à l'aide de fuseaux de buis trempés dans l'huile bouillante et appliqués tant que vous le jugerez convenable, et jusqu'à cautérisation complète, ou bien on fera huit eschares avec les champignons. Si vous réussissez dans la cautérisation, vous guérissez le patient, et le reste du temps il se trouvera mieux; mais, si la cautérisation échoue, n'étant pas d'ailleurs guéri par les autres moyens, il meurt de consomption.

29. (*Autre hépatite.*) Autre hépatite : les accidents sont en général les mêmes que dans les cas précédents, sauf la couleur, qui est noire. La bile du foie, remplie de phlegme et de

μυκῆσιν EHIJK, Ald., Frob. — [12] τοῦ χρόνου pro χρόνον θ. – ῥάων HIJK. – διὰξει Ald. — [13] ἄλλη ἡπατίτις EI. – ἄλλη ἥπατος HKθ. – τοῖσι θ, Mack. – τῇσι vulg. – ὡς λογιζόμεθα ponitur ante ἡ χολὴ EHK. — [14] διαρρῇ H. – διαρραγῇ EP'Q'θ, Lind., Mack. – ὑλακτεῖ K. – φοινικέοι EHK. – φοινίκιοι J. – Post εἰσι addunt αὐτοῦ Eθ, Mack. – ὁρᾶν E. – ἀνορᾶν θ.

νετα, καὶ ὑλακτέει ὡς κύων, καὶ οἱ ὄνυχες φοινίκεοί εἰσι, καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐ δύναται ὁρῆν, καὶ τρίχες [1] αἱ ἐν τῇ κεφαλῇ ὀρθαὶ ἵστανται, καὶ πυρετὸς ὀξὺς ἐπιλαμβάνει. Τούτῳ χρὴ προσφέρειν τὰ αὐτὰ ἃ καὶ τοῖσι πρόσθεν· οἱ δὲ πολλοὶ ἀποθνήσκουσιν ἐν τῇσιν ἕνδεκα ἡμέρῃσι· παῦροι δὲ διαφυγγάνουσιν.

30. [2] Σπληνὸς νοῦσος πρώτη· γίνεται δὲ ἡ τοιαύτη νοῦσος διὰ θερμασίην τοῦ ἡλίου χολῆς κινηθείσης, ὁκόταν [3] ἑλκύσῃ ἐφ' ἑωυτὸν χολὴν ὁ σπλήν. Τάδε οὖν πάσχει· πυρετὸς ὀξὺς ἐπιγίνεται κατ' ἀρχάς· προϊούσης δὲ τῆς νούσου ἀφίησι, πλὴν κατ' αὐτὸν τὸν σπλῆνα· [4] ταύτῃ δὲ αἰεὶ θέρμη ἔχει· καὶ ὀδύνη ἄλλοτε καὶ ἄλλοτε ἐμπίπτει ὀξείη καὶ ἐς τὴν λαπάρην καὶ ἐς τὴν κοιλίην· τὰ δὲ σιτία κατ' ἀρχὰς [5] προσίεται μὲν, διαχωρέει δὲ οὐ μάλα, προϊούσης δὲ τῆς νούσου, ἥ τε χροιὴ ὠχρὴ γίνεται, καὶ ὀδύνη ἰσχυρὴ ἐμπίπτει, καὶ αἱ κληῖδες λεπτύνονται, καὶ τὰ σιτία [6] οὐχ ἁμαλῶς προσίεται ὥσπερ κατ' ἀρχὰς, καὶ ἀπὸ ὀλίγου πίμπλαται· ὁ δὲ σπλὴν [7] ἄλλοτε μέγας τῆς αὐτῆς ἡμέρης, [8] ἄλλοτε ἐλάσσων γίνεται. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πῖσαι ἐλλέβορον, κάτω δ' ὑποκαθῆραι τῷ κνιδίῳ κόκκῳ· ἐς ἑσπέρην δὲ μετὰ τὴν κάθαρσιν φακῆς δοῦναι τρυβλίον ῥοφέειν ὀξυτέρης, καὶ τευτλίων τρυβλίον [9] λιπαρῶν, ἄλφιτα παραπάσας· τῇ δ' ὑστεραίῃ καὶ τῇ τρίτῃ ἄρτον μικρὸν δοῦναι· ὄψῳ δὲ φακῇ χρεέσθω, καὶ ὑὸς κρέας ἐν τῇ φακῇ ἑφθὸν τετριμμένον· οἶνον δὲ πινέτω αὐστηρὸν, μέλανα, ἀκρητέστερον κατ' ὀλίγον, καὶ ἡσυχίην ἐχέτω ταύτας τὰς ἡμέρας, πλὴν ἔνδον ὀλίγα περιπατεέτω ἐν [10] σκιῇ. Τὸν δὲ λοιπὸν χρόνον τάδε χρὴ προσφέρεσθαι· σιτίον μὲν ἄρτον αὐτοπυρίτην, ὄψον δὲ ἐχέτω κρέας κυνὸς μέζονος ἢ αἰγὸς ἢ οἰὸς τετριμμένον, καὶ τάριχος Γαδει-

[1] Αἱ om., restit. al. manu H. – παῦροι δ' ἐκφυγγάνουσιν θ. — [2] σπληνὸς τῆς πρώτης (E, cum περὶ ante σπλ.) FGHIθ. – ἡ τοι. νοῦσος om. (H, restit. al. manu) θ. — [3] ἐκκύσῃ FGHIJK. – ἑλκυήσῃ (sic) E. — [4] ταύτην GHIJ. – γὰρ pro δὲ Lind. – αἰεὶ E. — [5] προίεται vulg. – προσίεται θ, Lind., Mack. – αἱ om., restit. al. manu H. — [6] οὐκ Frob. – ὁμοίως προίεται (προσίηται Lind.) vulg. – ἁμαλῶς προσίεται θ, Mack. – Gal. Gl. : καὶ ἐν τῷ δευτέρῳ μείζονι, καὶ τὰ σιτία οὐχ ἁμαλῶς προσίεται. – ἀπ' EH. – ὀλίγον E. – Lisez ὀλίγων dans E. — [7] ἄλλοτε καὶ (ἄλλ. καὶ om. EHKθ) ἄλλοτε vulg. – μέγας ἄλλοτε θ, Mack. – αὐτῆς τῆς EK. — [8] καὶ (καὶ om. EHK) ἄλλοτε vulg. – κάτω, ὑποκαθῆραί τε (τε om., restit. al. manu H) vulg. – καὶ τῷ δ' ὑποκαθῆραι θ, Mack. – Martinus avait proposé de lire ἄνω au lieu de κάτω ; mais, en prenant δ' et en supprimant τε, on a la bonne leçon. – τρυβλίον δοῦναι EHK. – ῥοφέειν om. θ. — [9] λαπαρῶν θ, Mack. – ῥυπαρὸν G, Ald. – λιπαραρὸν (sic) I. – λιπαρὸν

sang, selon notre raisonnement, fait éruption; cette éruption opérée, bientôt le malade a le transport, il se fâche, il parle hors de propos, il aboie comme un chien; ses ongles sont rouges; il ne voit pas; les cheveux sont dressés sur sa tête, et une fièvre aiguë le saisit. Il faut administrer les mêmes choses que dans les cas précédents. La plupart succombent dans les onze jours; peu réchappent.

30. (*Maladie de la rate.*) Première maladie de la rate : cette maladie vient par la chaleur du soleil, qui meut la bile, quand la rate attire à soi de la bile. Voici les accidents : la fièvre est aiguë au début; mais, le mal se prolongeant, elle tombe, si ce n'est pour la rate même, qui est toujours en proie à la chaleur. De temps à autre une douleur aiguë s'y fait sentir ainsi qu'au flanc et au ventre. Le malade, au début, a de l'appétit; mais il n'a guère de selles; la maladie se prolongeant, il prend une coloration jaune, une forte douleur est ressentie, il maigrit aux clavicules, il n'a plus l'appétit du début; peu d'aliments suffisent pour le rassasier. La rate, dans la même journée, est tantôt grosse et tantôt moindre. Les choses étant ainsi, on fera boire l'hellébore; et, par le bas, on évacuera à l'aide du grain de Gnide. Le soir, après l'évacuation, on donnera en potage un oxybaphe de bouillie de lentilles acidulée, un oxybaphe de bettes au gras, saupoudrées de farine d'orge. Le lendemain et le surlendemain le patient mangera un petit pain; pour mets il aura la bouillie de lentilles, la viande de porc cuite dans la bouillie et hachée; il boira un vin astringent, noir, il le prendra pur et peu à la fois. Il se tiendra en repos pendant ces jours, si ce n'est que, chez lui, il marchera un peu à l'ombre. Le reste du temps voici ce qu'il faut prescrire : pour aliments de céréales, le pain bis; pour mets, la

EF (H, al. manu λιπαρήν). – περιπάσας θ. – παραπάσσας GIJK, Ald. – ἐφθὸν om., restit. al. manu E. – τετρυμμένον GI. – τετρυμένον HK. — [10] τῇ (τῇ om. EHKP'Q'θ, Lind., Mack) σκιῇ vulg. – τά τε pro τάδε Lind. – σιτίων EK. – ἢ οἰὸς ἢ αἰγὸς EHIJK. – ὀϊὸς Ald. – ὄϊος Lind. – Post οἰὸς addit ἢ ὑὸς θ. – τετρυμμένον GI. – τετρυμένον EHK.

ρικὸν ἢ σαπέρδην, καὶ τὰ ὀξέα καὶ τὰ ἁλμυρὰ πάντα προσφερέσθω καὶ τὰ στρυφνά· πινέτω δὲ οἶνον Κῷον ὑπόστρυφνον ὡς μελάντατον· τῶν δὲ γλυκέων καὶ λιπαρῶν ἀπεχέσθω καὶ [1]κνισωδέων, καὶ σίλφιον μὴ προσφερέσθω, μηδὲ σκόροδα, μηδὲ κρέας χοίρειον, [2]μηδὲ κεστρέα μηδὲ ταρίχηρον μηδὲ νεαρὸν, [3]μήτε ἔγχελυν, [4]μήτε λάχανον [5]μηδὲν ἑφθὸν ἄνευ ὄξεος· τρωξίμων δὲ, ῥαφανῖδι χρεέσθω καὶ σελίνῳ, ἐς ὄξος βάπτων, [6]καὶ οἴνῳ ἄλφιτα φυρῶν ἐσθιέτω, καὶ τοῦ οἴνου ῥοφεέτω ἄκρητον· ἢν δὲ βούληται, καὶ τὸν ἄρτον ἐς τὸν οἶνον ἐνθρυπτόμενος ἐσθιέτω θερμόν· διδόναι δὲ καὶ ἰχθύων σκορπίον, δράκοντα, κόκκυγα, κωβιὸν, καλλιώνυμον, τούτους ἑφθοὺς καὶ ψυχροὺς [7]διδόναι. Διδόναι δὲ καὶ ἃ μέλλει τὸν σπλῆνα λεπτύνειν ἑκάστης ἡμέρης, ἀσφοδέλου τοῦ καρποῦ, ἢ ἰξοῦ τὰ φύλλα, ἢ [8]αἰγόκερας, ἢ ἄγνου καρπὸν, ἢ πήγανον, ἢ [9]διδυμαίου ῥίζην· τούτων τρίβων ὅ τι ἂν βούλῃ, διδόναι ἐν οἴνου κοτύλῃ αὐστηροῦ νήστει. Ἢν δὲ δυνατὸς ᾖ, ἀναγκάζειν αὐτὸν πρίειν ξύλα τριήκοντα ἡμέρας, καὶ ἀπ' ἄκρων τῶν ὤμων παλαιέτω, καὶ περιπατεέτω ὃι' ἡμέρης, καὶ ὄψιος [10]εὐδέτω, πρωΐος δὲ ἐγειρέσθω, καὶ εὐωχεέσθω [11]ἃ προείρηται. Ἢν δὲ μὴ ὑπὸ τούτων ῥηΐσῃ, καῦσαι τὸν σπλῆνα μύκησι δέκα ἐσχάρας μεγάλας, ὁκόταν μέγιστος ᾖ ὁ σπλὴν καὶ ἐξηρμένος μάλιστα· ἢν γὰρ τύχῃς καύσας ὡς δεῖ, ὑγιέα ποιήσεις, [12]πλὴν οὐκ ἐν τάχει. Ἡ δὲ νοῦσος δέεται θεραπηΐης· χαλεπὴ γὰρ καὶ χρόνιος, ἢν μὴ παραχρῆμα μελετηθῇ.

31. Ἄλλη [13]νοῦσος σπληνός· γίνεται μὲν ἀπὸ τῶν αὐτῶν ἀφ' ὧν καὶ ἡ πρόσθεν· πάσχει [14]οὖν ὑπὸ τούτου τοῦ νοσήματος τάδε· ἡ γα-

[1] Κνισσ. E, Frob., Lind., Mack. – ὕειον pro χοίρειον θ. — [2] μηδὲ κεστρέα (κέστρεα IJ) μηδὲ νέαρον (νεαρὸν Lind., Mack; τενέαρον sic, E al. manu νέαρον, FGHIJK, Ald.) μηδὲ (μήτε EK) τάριχος vulg. – μηδὲ κεστρέα μηδὲ ταρίχηρον μηδὲ νεαρὸν θ. — [3] μηδὲ Lind. — [4] μηδὲ Lind. — [5] μηδὲν EHK. – μηδὲ vulg. – ἑφθὸν om. Kθ. – ὄξους vulg. – ὄξεος EHK. – ῥαφανίδι EFGHIJK, Ald., Frob., Lind., Mack. — [6] καὶ ἐν οἴνῳ θ. – ἐσθίειν, al. manu ἔτω H. – ἐνθριπτόμενος Ald. – ἐνθρυπόμενος H. – σκορπῖον I, Ald., Frob., Lind. – κώκκυγα E. — [7] διδόναι om. Hθ, Mack. – ἰσχναίνειν θ. – ἀσφοδέλου HIJ. – κισσοῦ pro ἰξοῦ θ. — [8] αἰγὸς κέρας (κρέας, E al. manu κέρας, Q') vulg. – αἰγόκερας θ, Mack. – Gal. Gl. : αἰγοκέρας, ὅπερ καὶ βουκέρας καὶ τῆλις. — [9] ἡδυόσμου (ἡδύσμου I; ἡδύοσμον, al. manu ἡδυόσμου ῥίζην E; διδυμαίου θ) ῥίζην vulg. – Gal. Gl. : διδύμη, ῥίζα τῆς βοτάνης, ἥτις καὶ ὄρχις καλεῖται. – Hesych. : διδύμιον. – ἢν pro ἂν EHK. – ἐν οἴνῳ αὐστηρῷ vulg. – ἐν οἴνου κοτύλῃ αὐστηροῦ EHKP'Q'θ, Lind., Mack. — [10] εὐδεέτω vulg. – εὐδεέτω IJ,

viande hachée de chien adulte, ou de chèvre, ou de brebis, la salaison de Cadix, le coracin salé, toutes les choses acides, toutes les choses salées, toutes les choses astringentes; il boira du vin de Cos, un peu astringent, très-noir. Il s'abstiendra des choses douces, huileuses et grasses. Il ne prendra ni silphion, ni ail, ni viande de porc, ni cestrée (*un mule*) salé ou frais, ni anguille, ni aucun herbage cuit sans vinaigre; quant à ceux qui se mangent crus, il mangera des raiforts et du persil assaisonnés au vinaigre; il mangera de la farine pétrie avec du vin, il boira du vin pur. S'il veut, il mangera chaud du pain écrasé dans du vin. En fait de poissons, on lui donnera le scorpios (*scorpæna scrofa*), la vive, le coccyx (*rouget commun*), le cobius (*un chabot*), le callionyme (*uranoscope*), tous bouillis et froids. On prescrira ce qui diminuera la rate chaque jour, la graine de l'asphodèle, ou les feuilles du gui, ou le fenugrec, ou la graine de l'agnus (*vitex agnus*), ou la rue, ou la racine de l'orchis; une quelconque de ces plantes, broyée, sera administrée à jeun dans une cotyle de vin astringent. Si ses forces le lui permettent, on l'obligera à scier du bois pendant trente jours; il luttera du haut des épaules; il se promènera pendant le jour; il se couchera tard et se lèvera de bonne heure; il se nourrira bien comme il a été dit. Si le mal ne s'amende pas par ces moyens, on fera, avec des champignons, dix grandes eschares sur la rate quand elle est le plus grosse et le plus tuméfiée. Si vous réussissez comme il faut dans la cautérisation, vous guérirez le malade, mais non promptement. La maladie réclame des soins; car elle est difficile et de longue durée, si elle n'est pas traitée sur-le-champ.

31. (*Autre maladie de la rate, avec accidents scorbutiques.*) Autre maladie de la rate : elle vient des mêmes causes que la

Ald., Frob., Mack. – εὐδέτω EHK. – καὶ πρώϊος δὲ K. — [11] τὰ προειρημένα θ. – δὲ om. HK. – ῥήσῃ (H, al. manu ῥηίσῃ) IJ. – μυκῆσι EHIJK, Ald., Frob. – μεγάλας om. θ. – ὡς δεῖ om. θ. — [12] πλὴν οὐκ om. θ, Mack. – οὐχ Ald., Frob. — [13] νοῦσας om. EHIKθ. – ἀφ' om., restit. al. manu H. — [14] δὲ pro οὖν θ, Mack. – ἀπὸ (H, al. manu ὑπὸ) K. – νουσ. Lind. – μεγάλη pro μετὰ δὲ θ. – εἰς J.

στὴρ φυσᾶται, μετὰ δὲ καὶ ὁ σπλὴν οἰδέει καὶ σκληρός ἐστι, καὶ ὀδύναι ὀξεῖαι ἐμπίπτουσιν ἐς τὸν σπλῆνα· ἡ δὲ χροιὴ τρέπεται, [1]καὶ δρᾶται μέλας, ἔπωχρος, σιδιοειδὴς, καὶ ἐκ τοῦ ὠτὸς κακὸν ὄζει, [2]καὶ τὰ οὖλα ἀφίσταται ἀπὸ τῶν ὀδόντων καὶ κακὸν ὄζει, καὶ ἐκ [3]τῶν κνημέων ἕλκεα ἐκρήγνυται, ὁκοῖά περ ἐπινυκτίδες· τὰ δὲ γυῖα λεπτύνεται, καὶ ἡ κόπρος οὐχ ὑποχωρέει. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, [4]μελετῆν τοῖσιν αὐτοῖσι φαρμάκοισι καὶ ἐδέσμασι καὶ ποτῷ καὶ ταλαιπωρίῃσι καὶ τοῖσιν ἄλλοισι πᾶσι· καὶ κλύζειν, ὁκόταν μὴ θέλῃ ἡ κόπρος διαχωρέειν, ἐν τούτοισι· μέλιτος ἡμικοτύλιον καὶ νίτρου Αἰγυπτίου ὁκόσον ἀστράγαλον [5]οἰός· ταῦτα τρίψας διεῖναι ἀπὸ τεύτλων ἑφθῶν ὕδατι τέσσαρσι κοτύλῃσιν· εἶτα οὕτω κλύζειν. Ἢν δὲ μὴ ὑπὸ τούτων ἡ νοῦσος καθίστηται, καῦσαι [6]αὐτοῦ τὸν σπλῆνα ὡς τὸν πρόσθεν, καὶ ἢν τύχῃς καύσας, ὑγιέα ποιήσεις.

32. [7]Ἄλλη νόσος σπληνός· γίνεται μὲν τοῦ ἔτεος ἔαρος ὥρῃ μάλιστα, [8]ἀπὸ δὲ αἵματος· ὁκόταν γὰρ ἐμπλησθῇ ὁ σπλὴν αἵματος, ἐκρήγνυται ἐς τὴν κοιλίην, καὶ ὀδύναι ὀξεῖαι ἐς τὸν σπλῆνα ἐμπίπτουσι καὶ ἐς τὸν τιτθὸν καὶ ἐς τὴν κληῖδα καὶ ἐς τὸν ὦμον καὶ ὑπὸ [9]τὴν ὠμοπλάτην. Ἡ δὲ χροιὴ τοῦ γυίου μολιβδοειδὴς, καὶ ἀμυχὰς ἐν τῇσι κνήμῃσι λαμβάνει, καὶ ἕλκεα μεγάλα γίνεται ἐξ αὐτέων, καὶ τὰ κάτω ὑποχωρέοντα [10]ἅμα τῇ κόπρῳ αἱματώδεα καὶ ἰώδεα ὑπέρχεται, ἡ δὲ γαστὴρ σκληρὴ, καὶ ὁ σπλὴν [11]καθὰ λίθος ἐστίν. Οὗτος τῶν πρόσθεν θανατωδέστερος, καὶ ἐξ [12]αὐτέου παῦροι διαφυγγάνουσι. Τοῦτον, ὁκόταν [13]ὧδε ἔχῃ, τοῖσιν αὐτέοισι θεράπευε οἷσι καὶ τὸν ἔμπροσθεν, πλὴν ἄνω φάρμακον μὴ δῷς· κάτω δὲ τοῦ κόκκου τοῦ κνιδίου δοῦ-

[1] Γίνεται pro καὶ δρᾶται EHK. – ὕπωχρος Mack. — [2] καὶ τὰ οὖλα κακὸν ὄζει (καὶ τὰ οὖ. κ. ὄ. om. FG), καὶ τὰ ἀπὸ τῶν ὀδόντων ἀφίσταται vulg. – καὶ τὰ οὖλα ἀφίσταται ἀπὸ τῶν ὀδόντων καὶ κακὸν ὄζει θ. — [3] τῶν om. J. – κνημίων K. – ἐκρήγνυνται IJ, Ald. – ῥήγνυνται FG. – ὁποῖα GJ. – γύα GJ, Ald. – οὐ διαχωρέει θ. — [4] μελέτην J. – ὑποκλύζειν E (H, al. manu) KP'Q'θ, Lind., Mack. — [5] ὄϊος Lind. – διῆναι IJ. – κοτύλαισιν E. — [6] αὐτὸν θ. – ποιήσης G, Ald., Frob., Lind. — [7] ἀλ. ν. σπλ. om. E. – νόσος om. HIJKθ. – νοῦσος Lind., Mack. – θέρεος pro ἔαρος θ. — [8] ἡ δὲ νοῦσος γίνεται ἀπὸ αἵματος (E, αἷμ. ἄπο) HKθ. – γὰρ om. EHKθ. – ὁ σπλὴν ἐμπλησθῇ μάλιστα αἵματος EHK (θ, sine μάλιστα). — [9] τὴν om., restit. al. manu H. – τούτου pro τοῦ γυίου θ. – γύου GI, Ald., Frob. – μολυβδοειδὴς H. – αὐτῶν E. — [10] ἅμα τῷ πρώτῳ (τῷ κόπρῳ Mercur. in marg.; τῇ κόπρῳ Lind.; τὸ πρωῖ θ) αἱματώδεα καὶ ἰώδεα (οἰνώδεα θ), καὶ (καὶ om. θ) ὑπέρχεται ἡ γαστὴρ (ὑπέρχεται, ἡ δὲ γαστὴρ θ) σκληρὴ vulg. – Je prends κόπρῳ conjecturé par Mercurialis, quoique

précédente. Voici les accidents qu'elle amène : le ventre se remplit de flatuosités; puis la rate se gonfle et durcit; des douleurs aiguës s'y font sentir; la coloration s'altère, le malade est noir, jaune, de couleur de grenade. L'oreille exhale une mauvaise odeur. Les gencives se détachent des dents et sentent mauvais. Des ulcérations font éruption aux jambes comme des épinyctides. Les membres maigrissent, et il y a constipation. Les choses étant ainsi, on traitera le malade par les mêmes remèdes, aliments, boissons, exercices et tout le reste. Quand les selles ne viennent pas, on prescrit le lavement suivant : prenez une demi-cotyle de miel et gros comme un osselet de mouton de nitre d'Égypte, broyez, et délayez dans quatre cotyles d'eau de bettes bouillies. Si la maladie ne cède pas à ces moyens, vous cautériserez la rate comme dans le cas précédent, et, en cas de réussite de la cautérisation, vous procurez la guérison.

32. (*Autre maladie de la rate.*) Autre maladie de la rate : elle survient surtout au printemps, et c'est le sang qui l'engendre. Quand la rate s'est emplie de sang, l'éruption se fait dans le ventre; des douleurs aiguës sont ressenties à la rate, à la mamelle, à la clavicule, à l'épaule et sous l'omoplate. La coloration du corps est plombée. Il se forme aux jambes des écorchures qui deviennent de grandes ulcérations; les matières rendues avec les excréments sont sanguinolentes et érugineuses; le ventre est dur, et la rate est comme une pierre. Cette affection expose à plus de danger que la précédente, et peu en réchappent. Les choses étant ainsi, traitez par les mêmes moyens que dans le cas précédent, sauf que vous ne donnerez pas de vomitif; vous évacuerez par le bas avec le grain de Gnide. Le lendemain vous administrerez huit cotyles de lait cuit d'ânesse ou de jument, avec addition de miel; sinon,

la leçon de θ, dont cependant je ne puis tirer parti, rende la chose plus douteuse. Je prends aussi la leçon de θ pour le déplacement de ὑπέρχεται. — [11] ὥσπερ EHK. – καθάπερ Lind., Mack. – ἐστὶν om., restit. al. manu H. — [12] αὐτοῦ EHK. — [13] οὕτως θ. – αὐτέοισιν οἷσι καὶ τοὺς πρόσθεν ἶῆσθαι θ. – αὐτοῖσιν vulg. – μηδαμῶς pro μὴ δῷς J. – τοῦ κνιδίου κόκκου θ. – κνηδίου Ald.

ναι· [1]τῇ δ' ὑστεραίῃ ὀνείου ἢ ἱππείου γάλακτος ἑφθοῦ ὀκτὼ κοτύλας, μέλι παραχέων· εἰ δὲ μὴ, βοείῳ ἢ αἰγείῳ ἑφθῷ δύο χοεῦσι, μέλι [2]παραχέων παρὰ τὴν ἑτέρην κύλικα, ἐναλλὰξ δὲ πίνειν χρή· ἐς [3]δὲ τὴν ἑσπέρην διδόναι μετὰ τὴν κάθαρσιν ταὐτὰ ἃ καὶ τῷ πρόσθεν μετὰ τὸ φάρμακον· καὶ ἢν δοκέῃ, τοῦ αἵματος ἀφελεῖν ἀπὸ τοῦ ἀγκῶνος τοῦ ἀριστεροῦ τῆς εἴσω φλεβός. Τὰς δὲ λοιπὰς τῶν ἡμερέων διδόναι νήστει ἑκάστης ἡμέρης βοείου γάλακτος τέσσαρας κοτύλας, τρίτον μέρος ἅλμης παραμίσγων· σιτίοισι δὲ καὶ ποτοῖσι καὶ τοῖσιν ἄλλοισι τοῖσιν αὐτοῖσι θεραπεύειν [4]οἷσι καὶ τοὺς πρόσθεν· ἀπέχεσθαι δὲ λαγνείης καὶ [5]οἰνοφλυγίης καὶ τοῦτον καὶ τοὺς πρόσθεν· καὶ ἢν σοι δοκέῃ, [6]καὶ καῦσαι, ὁκόταν παχύτατος καὶ μέγιστος ὁ σπλὴν γένηται· καὶ ἢν τύχῃς καύσας [7]τοῦ καιροῦ, ὑγιέα ποιήσεις· ἢν δὲ μὴ ὑπὸ ταύτης τῆς ἰήσιος ὑγιὴς γένηται, φθειρόμενος χρόνῳ θνήσκει· ἡ γὰρ νοῦσος λίην ἐστὶ χαλεπή.

33. Ἄλλη [8]νοῦσος σπληνός· [9]προσπίπτει καὶ αὕτη ἡ νοῦσος ἧρος μάλιστα, ὁκόταν φλέγμα ἀναλάβῃ ὁ σπλὴν ἐς ἑωυτὸν, [10]μέγας παραχρῆμα γίνεται καὶ σκληρός· εἶτ' αὖθις καθίσταται· καὶ [11]ὅταν μὲν ἐξηρμένος ᾖ, ὀδύναι ὀξεῖαι ἐμπίπτουσιν· ὁκόταν δὲ λαπαρὸς ᾖ, ἀνώδυνός ἐστι· καὶ ὁκόταν χρόνος [12]ἐγγένηται τῇ νούσῳ, ἀμαυροτέρη δοκέει, καὶ ἐπανίσταται, καὶ ταχέως καθίσταται. Οὗτος ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς τοῦ [13]νοσήματος τὰ σιτία οὐ δύναται προσίεσθαι, καὶ ταχέως καταλεπτύνεται, καὶ ἀκρησίην ἔχει τὸ σῶμα πολλήν. Τὸ δὲ [14]νούσημα ἢν μὴ παραχρῆμα θεραπευθῇ, ἢ αὐτόματον καταστῇ, διαλιπὸν πέντε μῆνας ἢ ἐξ αὖθις ἐπανίσταται· διαλιμπάνει δὲ μάλιστα τὸν χειμῶνα. Τοῦτον κατ' ἀρχὰς ἢν λάβῃς, καῦσον δέκα

[1] Τῇ (καὶ τῇ Lind.) ὑστεραίῃ καὶ (καὶ om. Lind.) ἱππείου γάλακτος vulg. — τῆς δ' ὑστεραίης ὀνείου ἢ ἱππείου γάλακτος θ. — Post ἑφθοῦ addunt δοῦναι H (θ, ante ἑφθοῦ). — παραχέας E (H, al. manu ἑων). — [2] παραχέων (παρ. om. vulg.) θ, Mack. — παραμίσγων Lind. — ἐναλὰξ G, Ald. — χρὴ om. θ. — [3] δὲ τὴν om., restit. al. manu H. — ταῦτα HIJK, Frob. — ἀφαιρεῖν E (H, al. manu) K. — [4] ἐν οἷσι K. — τοὺς HKθ. — τὸν vulg. — [5] λαχανοφαγίης Vatic. exempl. ap. Foes. — [6] καὶ om. EHK, Lind. — παχύτατος ἢ (H, al. manu γένηται) καὶ μέγιστος ὁ σπλὴν sine γένηται Hθ. — παχύτατος ἢ καὶ γένηται μέγιστος ὁ σπλὴν E. — γένηται ὁ σπλὴν K. — κὴν pro καὶ ἢν EHK. — [7] κατὰ καιρὸν θ. — ἰήσεως vulg. — ἰήσιος EHIK, Lind. — λίαν I. — λίην om. θ. — λίην ἐστὶ om., restit. al. manu post χαλ. H. — χαλ. ἐστὶ λίαν E (K, λίην). — [8] ν. om. EHIJKθ. — [9] πρ. δὲ ἡ νοῦσος καὶ αὐτὴ EHK. — καὶ αὕτη om. θ. — μάλιστα ἧρος θ. — ἔαρος vulg. — ἑ (sic) pro ἐς E. — [10] καὶ (καὶ om. EHK) μέγας παρ.

deux conges (*conge* = 3litres,24) de lait cuit de vache ou de chèvre, avec addition de miel de deux tasses l'une, on boira alternativement la tasse avec miel et la tasse sans miel. Le soir, après cette purgation, on donnera les mêmes choses qu'on donnait dans le cas précédent après le médicament évacuant. Tirez, si vous le jugez convenable, du sang à la veine interne du pli du bras gauche. Les autres jours vous donnerez à jeun, chaque jour, quatre cotyles de lait de vache, avec addition d'un tiers de saumure. Le traitement en fait d'aliments, de boissons et du reste sera le même que pour les cas précédents. On défendra le coït et les excès de vin à ce malade comme à ceux qui précèdent; et, dans le cas où vous le jugeriez convenable, vous cautériserez, quand la rate est la plus grosse et la plus volumineuse. Si vous réussissez à cautériser à propos, vous procurez la guérison; mais, s'il ne guérit pas par ce traitement, le malade finit par succomber à la consomption; car la maladie est très-difficile.

33. (*Autre maladie de la rate.*) Autre maladie de la rate : celle-ci vient aussi surtout pendant le printemps; la rate reçoit du phlegme qui la pénètre, et soudain elle grossit et durcit, puis revient à l'état naturel; quand elle est gonflée, des douleurs aiguës s'y font sentir; mais, quand elle est dégonflée, elle est indolente. La maladie, se prolongeant, paraît perdre de son activité; la rate enfle, et se désenfle rapidement. Les choses étant ainsi, le malade, au début de la maladie, n'a pas d'appétit, il maigrit vite, et le corps est affecté d'une grande impuissance. Cette maladie, si elle n'est pas traitée sur-le-champ ou si elle ne guérit pas spontanément, éprouve une intermission de cinq à six mois et puis reparaît; l'intermission arrive particulièrement en hiver. Si vous prenez le malade

γένηται (γίνεται H) vulg. – αὖτις EH. — [11] ὁκόταν I, Mack. – ὁπόταν EHK. – ἐξηρημένος GIJ. – ἐξηρτημένος EP'Q'. — [12] γένηται vulg. – ἐγγένηται HKθ. – δοκέῃ GIJ. – δοκέει om., restit. al. manu H. – Post δοκ. addit ἡ νοῦσος H. – οὕτως om., restit. al. manu H. — [13] νουσ. Lind. – ἀκρησίον (sic) J. – πουλλὴν GJ, Ald., Frob. – πολ. τὸ σῶμα EHK. — [14] νόσ. EHK. – κατασταθῇ θ. – διαλιπὸν K. – διαλιπὼν vulg. – μῆνας πέντε HIJK. – αὖτις EH.

ἐσχάρας ἐς τὸν σπλῆνα, καὶ [1]παρ' εὐθὺ ὑγιέα ποιήσεις· ἢν δὲ μὴ καύσῃς, τοῖσιν αὐτοῖσι φαρμάκοισιν ἰῆσθαι οἷσι καὶ τοὺς πρόσθεν, καὶ ἐδέσμασι καὶ ποτοῖσι καὶ ταλαιπωρίῃσιν· οὕτω γὰρ ἂν τάχιστα ὑγιέα ποιήσῃς. Τούτου [2]δὲ ἡ χροιὴ γίνεται ἔκλευκος, ἄρτι ὕπωχρος, ἄρτι αὐχμηρή.

34. Ἄλλη [3]νοῦσος σπληνός· γίνεται μετοπώρου μάλιστα [4]ἀπὸ χολῆς μελαίνης· γίνεται δὲ ἀπὸ λαχανοφαγίης τρωξίμων πολλῶν καὶ ὑδροποσίης. Πάσχει οὖν τάδε· ὁκόταν τὸ [5]νούσημα λάβῃ, ἀλγέει τὸν σπλῆνα σφόδρα, καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει, καὶ ἀσιτίη ἔχει αὐτὸν, τό τε γυῖον [6]ξυμπίπτει ταχέως· ὁ δὲ σπλὴν μέγας μὲν πάνυ οὐ γίνεται, σκληρὸς δὲ, καὶ [7]παραπίπτει παρὰ τὰ σπλάγχνα καὶ μυζέει προσκείμενος. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τοῖσιν αὐτοῖσιν ἰῆσθαι [8]καὶ φαρμάκοισι καὶ βρωτοῖσι [9]καὶ πότοισι καὶ ταλαιπωρίῃσιν, οἷσιν ἂν καὶ τοὺς πρόσθεν, καὶ ἢν σοι παρέξῃ, καῦσαι [10]τὸν αὐτὸν τρόπον ὅνπερ καὶ τοὺς ἄλλους. Αὕτη ἡ νοῦσος τοῖσι πολλοῖσιν, ἢν παραχρῆμα μελετηθῇ, ἐν τάχει ἐξέρχεται.

35. Ἴκτεροι τέσσαρες· [11]ὅδε μὲν τοῦ θέρεος μάλιστα ἐπιλαμβάνει χολῆς κινηθείσης· ἵσταται [12]οὖν ἡ χολὴ ὑπὸ τῷ δέρματι καὶ ἐν τῇ κεφαλῇ, ὥστ' εὐθὺς ἀλλοχροέει τὸ σῶμα καὶ γίνεται ὠχρὸν ὁκοῖόν περ σίδιον, καὶ οἱ ὀφθαλμοὶ ὠχροὶ, καὶ ἐν τῇ κεφαλῇ ὑπὸ τὰς τρίχας οἷον [13]χνοῦς ὕπεστι, καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει, καὶ οὐρέει ὠχρὸν τὸ οὖρον, καὶ ὑφίσταται ὑπ' αὐτῷ παχὺ [14]ὕπωχρον, καὶ τὸ ἔωθεν, ἕως ἂν νῆστις ᾖ, πρὸς τὴν καρδίην καὶ τὰ σπλάγχνα μύζει, καὶ ὁκόταν τις [15]αὐτὸν προσφθέγξηται ἢ ἐρωτήσῃ, ἀσῇ τε καὶ λυπέεται, καὶ οὐκ ἀνέχεται ἀκροώμενος· ὁ δὲ ἀπόπατος προϊὼν [16]ὠχρό-

[1] Παρ' om., restit. al. manu H. – πρόσθε, al. manu θεν H. — [2] δὲ om. (H, restit. al. manu) θ. – ἀρτιύπωχρος (ἄρτι ὕπωχρος E, H al. manu accentus supra ἄρτι, Kθ, Mack) καὶ (ἄρτι pro καὶ θ, Mack) αὐχμηρὴ vulg. — [3] ν. om. EHIJKθ. – γίνεται μὲν θ. – μεθοπώρου I. — [4] ὑπὸ EHK. – ὑδρωποσίης vulg. – ὑδρόποσίης EJK, Lind., Mack. — [5] νόσ. EH, Mack. – γύον I, Ald., Frob. — [6] σ. EHIJK. — [7] προσπίπτει πρὸς θ. – μύζει Lind. — [8] Ante καὶ addit οἷσι H. — [9] καὶ πότοισι EHKθ, Mack. – καὶ π. om. vulg. – ὡς pro οἷς θ. – ἂν καὶ om. (H, restit. al. manu) θ. – παρέξει IJ. – παράσχῃ E (H, al. manu παρέξει) Kθ. — [10] τὸν Hθ. – τὸν om. vulg. – τάξει pro τάχει J. — [11] ὁ (ὁ δὲ θ) μὲν vulg. – Lisez ὅδε. — [12] δὲ pro οὖν θ. – εὐθέως θ. – ἀλλωχροέει EIJ. – ἀλλοχροέειν K. – ἀλλοτροπέει θ. — [13] φλοὺς (φλοῦς E; χνοῦς θ, Mack) vulg. — [14] ὕποθρον (sic) FGI, Ald. – ἔστ' E (H, al. manu ἕως). – καρδίαν J. – καὶ πρὸς τὰ EHθ, Mack. – μυζέει EHK. — [15] αὐτὸν H. – αὐτῷ vulg. – ἐρωτέει, al. manu

dès le début, faites dix eschares sur la rate, et aussitôt vous procurerez la guérison. Si vous ne cautérisez pas, vous traiterez par les mêmes moyens que dans les cas précédents, remèdes, aliments, boissons et exercices; c'est de cette façon que la guérison sera la plus prompte. Dans cette maladie la peau est blanchâtre, tantôt jaunâtre, tantôt aride.

34. (*Autre maladie de la rate.*) Autre maladie de la rate : elle vient surtout en automne de la bile noire; elle se produit quand on mange beaucoup de légumes verts et qu'on boit beaucoup d'eau. Voici les accidents : quand la maladie se déclare, il y a forte douleur à la rate, frisson, fièvre, anorexie. Le corps maigrit promptement; la rate ne grossit pas beaucoup, mais elle devient dure, elle tombe le long des viscères et exerce, ainsi tombante, une succion. Dans cet état, on traitera par les mêmes moyens, remèdes, aliments, boissons et exercices, que dans les cas précédents; et, si la chose paraît utile, cautérisez comme précédemment. Cette maladie, si elle est traitée sur-le-champ, guérit promptement chez la plupart.

35. (*Ictère.*) Quatre ictères : celui-ci attaque surtout en été, la bile étant mise en mouvement. La bile se fixe à la peau et à la tête, de sorte qu'aussitôt le corps change de coloration et devient jaune comme une écorce de grenade. Les yeux jaunissent. A la tête, sous les cheveux, il se forme une espèce de duvet. Il y a frisson et fièvre. L'urine est jaune, et laisse déposer un sédiment épais jaunâtre. Au matin, le malade, tant qu'il est à jeun, éprouve des gargouillements au cardia et aux viscères; si on lui adresse la parole ou qu'on l'interroge, il s'impatiente, s'irrite et ne supporte pas qu'on lui parle. Les selles sont d'un blanc jaunâtre et fétides. En cet état, le malade succombe d'ordinaire dans les quatorze jours; s'il passe ce terme, il gué-

ἐρωτήσει H.–ἐρωτήσει E.–ᾄσσει (ἄσσῃ GIJ; ἄσῃ, E al. manu ἄσσει, H, Ald.; ἄσσεταί Lind.; ἀσσᾶταί Mack) τε vulg.– Gal. Gl. : ἀσᾶται, τό τε πυροῦται ὡς ἐν πρώτῳ γυναικείων, καὶ τὸ προσκόρως καὶ ἐπαχθῶς διατίθεται, ὡς ἐν τῷ δευτέρῳ περὶ νούσων μείζονι. – Mathiæ, gr. Gram., 3e édit., p. 541, pense qu'il faut lire ἀσῇ τε, d'ἀσάω, forme active, au lieu de ἀσάομαι, forme moyenne. — [16] ὠχρὸς θ. – τῇσι om. EK. – φύγῃ EH. – ὑγιὴς γίνεται H.

λευκος καὶ κάκοδμος. Οὗτος, ὁκόταν ὧδε ἔχῃ, θνήσκει μάλιστα ἐν τῇσι τεσσαρεσκαίδεκα ἡμέρῃσιν· ἢν δὲ ταύτας διαφύγῃ, ὑγιαίνεται. [1] Μελετῆν δὲ αὐτὸν χρὴ ὧδε· ὁκόταν ὁ πυρετὸς ἀνῇ, [2] λούειν πολλῷ καὶ θερμῷ, πίνειν τε διδόναι μελίκρητον· καὶ ῥοφήμασι διαχρεέσθω πτισάνης χυλῷ, μέλι παραχέων, καὶ μὴ συνεψεῖν τὸ μέλι, ἕως ἂν αἱ δεκατέσσαρες ἡμέραι παρέλθωσιν· αὗται γὰρ κρίνουσιν ἢν θανάσιμον ἢ οὔ. Μετὰ δὲ ταῦτα [3] λούειν δὶς τῆς ἡμέρης, καὶ εὐωχέειν τὸ πρῶτον ὀλίγοισιν ἅσσα [4] ἂν μάλιστα προσίηται, ἔπειτα μέντοι πλείω διδόναι· πινέτω [5] δὲ οἶνον λευκὸν ὡς πλεῖστον δι' ἡμέρης· καὶ ἢν σοι δοκέῃ προϊόντος τοῦ χρόνου ὠχρὸς εἶναι καὶ [6] ἀσθενής, ἔμετον κελεύειν ποιέεσθαι ἀπὸ τῶν σιτίων, ὡς ἐν τῇσιν ἄνω νούσοισιν ἔχει. Καὶ ἢν μὲν [7] ἀπὸ τουτέων παύσηται, ἅλις· ἢν δὲ μὴ, ἐλλέβορον πῖσαι· μετὰ δὲ τὴν κάθαρσιν [8] ἐς ἑσπέρην φαγέτω μᾶζαν μαλθακὴν ἢ ἄρτου τὸ ἐντός· ὄψον δὲ ἐσθιέτω νεοσσὸν ἀλεκτορίδος δίεφθον [9] ἑζωμευμένον χρομμύῳ καὶ κοριάνῳ καὶ τυρῷ καὶ ἁλὶ καὶ σησάμῳ καὶ σταφίδι λευκῇ· οἶνον δὲ πινέτω λευκὸν, αὐστηρὸν, ὡς παλαιότατον· τὴν δὲ κάτω κοιλίην ὑποκαθῆραι· τῇ δὲ ὑστεραίῃ [10] χυλῷ ἀπ' ἐρεβίνθων λευκῶν, μέλι δὲ χρὴ τῷ [11] χυλῷ παραχέαι, τούτῳ δὲ χρεέσθω, καὶ ἐκπιέτω [12] δύο κοτύλας τοῦ χυλοῦ. Τῇ δὲ τρίτῃ ἀρξάμενος, ἑκάστης ἡμέρης πινέτω [13] τὸ ὕδωρ, ἀπὸ τῶνδε ἑψήσας· μαράθρου ῥίζας λεπτὰς πλῆθος ὁκόσον τρισὶ δακτύλοισι περιλαβεῖν, τὴν δραγμίδα, ἑψεῖν ἐν [14] δύο χοεῦσιν ὕδατος, ἑψεῖν δὲ ἕως ἂν λειφθῇ τὸ ἥμισυ· [15] ἑψεῖν δὲ καὶ ἐρεβίνθων λευκῶν χοίνικα ἐν δυσὶ χοεῦσι, [16] καὶ τούτου λειπέτω τὸ ἥμισυ· ταῦτα ὁκόταν λειφθῇ, διηθήσας, ἐξαιθριάσαι, [17] καὶ ἀμφότερα μίξας, τούτῳ τῷ ὕδατι [18] τὸν οἶνον κρήσας πινέτω,

[1] Μελετῆν δ' αὐτὸν τόνδε χρὴ τὸν τρόπον θ.– μελετᾶν IJ.– μελετῆ, al. manu ῆν E.– χρὴ αὐτὸν HIJK.– ὁ om., restit. al. manu H.— [2] Post λ. addunt χρὴ HIJK; addit αὐτὸν θ.– δὲ pro τε EHIJKθ.– πτισσ. E.– καὶ μέλι παρ. EHK.– δεκατέτταρες vulg.– δεκατέσσαρες EHK. — [3] λούειν om., restit. al. manu H. — [4] ἢν EHK.– ἂν om. θ.– ἔπειτα πλείω μέντοι (μέντοι πλείω EHIK; μέντοι καὶ πλείω θ) vulg.— [5] δὲ καὶ θ.— [6] ἀσινὴς legit Martinus.– Post ἔμετον addit αὐτὸν θ.– ταῖς EGK.– ἐν τῇσι νούσοισι τῇσιν ἄνω θ.— [7] ὑπὸ θ.– τουτέων θ.– τούτων vulg.– παύηται θ.– εἰ δ' οὖν pro ἢν δὲ μὴ FGIJ.– τὴν τοιαύτην (τοι. om., H restit. al. manu) θ.— [8] ἑσπέρην (ἑσπέρης θ) vulg.– ἐς ἑσπέρην EHK.– ὄψον δ' ἐχέτω θ.— [9] εὐζωμευμένον vulg.– Schneider, dans son Dict., au mot εὐζωμεύω, dit: εὐζωμευμένον dans Hipp., fausse leçon pour εὖ ζωμευμένον.– ἑζωμευμένον (E, al. manu εὐζωμευμένον) HJ.– La véritable leçon est celle de nos mss.– χρομύω GI, Ald.– χορυάνω GIJ.– χο-

rit. Voici comment on traitera : quand la fièvre tombe, on lave avec beaucoup d'eau chaude, et on donne à boire du mélicrat. Pour potage il aura la décoction d'orge avec addition de miel; le miel ne cuira pas avec l'orge tant que les quatorze jours ne seront pas passés; en effet ce terme décide si la maladie est mortelle ou non. Ensuite on lavera deux fois le jour, et on alimentera avec ce qui excite l'appétit du malade, d'abord en petite quantité, puis en plus grande. Il boira du vin blanc le plus possible pendant le jour. Si, avec le temps, il vous paraît jaune et faible, vous ordonnerez le vomissement après aliments comme il a été dit dans les maladies précédentes. Si ces moyens réussissent, c'est bien; sinon, on fera boire l'hellébore; après l'évacuation, le soir, le malade mangera de la polenta molle ou le dedans du pain; pour mets, un poulet bien cuit dans un bouillon avec le porreau, la coriandre, le fromage, le sel, le sésame et le raisin sec blanc. Il boira un vin blanc, astringent, très-vieux. Il prendra un purgatif; le lendemain, il boira de la décoction de pois chiches blancs, préparée avec le miel; il en prendra deux cotyles. A partir du surlendemain, il se mettra à boire chaque jour une eau ainsi préparée : faites cuire une pincée de minces racines de fenouil dans deux conges d'eau, jusqu'à réduction de moitié; faites cuire aussi jusqu'à réduction de moitié une chœnice (1litre,08) de pois chiches blancs dans deux conges d'eau; cela fait, passez, exposez au serein, mêlez;

ριάννω EHK. – λευκὴ H. – λευκῇ om. K. — [10] χυμῶ IK. — [11] χυμῶ IJK. – τούτῳ δὲ om. FGIJ, Ald. – τούτῳ δὲ χρ. καὶ om. (E, restit. al. manu sine καὶ) HK. — [12] Ante δύο addunt δὲ EΠKQ'θ. – χοέας pro κοτύλας θ. – τοῦ τοιούτου (τοι. om. EHKθ) χυλοῦ (χυμοῦ HIJK) vulg. – ἀφ' (ἀφ' om. EHKθ; ἐφ' K', Lind., Mack) ἑκάστης vulg. — [13] τόδε (τόδε om., restit. al. manu H) τὸ (τόδε τὸ om. θ) ὕδωρ vulg. – μόρων pro μαρ. θ. – μαράθου (H, al. manu θρου) I. – δακτύλοις E. – δραγμίδα (δραχμίδα GIJI) ἐμβάλλειν (ἐμβ. om., restit. al. manu H) (addunt ταῦτα EKP') καὶ (ταῦτα pro καὶ, al. manu καὶ H) ἑψεῖν vulg. – Je supprime ἐμβάλλειν et καὶ avec H. — [14] τρισὶ θ. – δυσὶ Lind. — [15] ἑψεῖν δὲ (ἑψ. δὲ om. vulg.) θ. — [16] καὶ τούτου δὲ πιέτω (λειπέτω pro δὲ πιέτω θ) (ἕως ἂν λειφθῇ pro καὶ τούτου δὲ πιέτω Lind.) τὸ ἥμισυ vulg. – ἐξεθριάσαι, al. manu ξαιθ H. – ἐξαιθριᾶσαι Ald., Frob., Lind. — [17] καὶ om. θ. — [18] καὶ τὸν οἶνον vulg. – Je supprime ce καί. – κερήσας EQ', Lind. – κιρνὰς θ. – κιρνᾶν P'.

καὶ αὐτὸ τὸ ὕδωρ [1]μοῦνον, ἢν βούληται, πινέτω ὡς πλεῖστον, καὶ ἄλλο ὕδωρ μὴ πινέτω. [2]Ἢν δὲ τοῦτο τὸ ποτὸν μὴ προσίηται, τόδε σκευάσας οὕτω διδόναι· ἰσχάδων λευκῶν χοίνικα ἑψήσας ἐν δυσὶ χοεῦσι διηθῆσαι καὶ ἐξαιθριάσαι· ἔπειτα τὸ ὕδωρ [2]τοῦτο πινέτω, ἢν τε ψιλὸν [3]αὐτὸ βούληται, ἢν τε σὺν τῷ οἴνῳ κιρνάς· πινέτω δὲ μὴ ἀθρόον πουλὺ, ἀλλὰ κατὰ φορὰν ἡμικοτύλιον, ὅκως μὴ διάῤῥοια [4]αὐτῷ ἐπιγένηται, καὶ διαλιπὼν χρόνον ὀλίγον πινέτω. Ἀγαθὰ δὲ [5]καὶ τάδε διδόναι πίνειν νήστει ἑκάστης ἡμέρης· τρίβοντα λεῖα καὶ διέντα κοτύλην οἴνου παλαιοῦ λευκοῦ, σελίνου καρπὸν, σικύου σπέρμα, μαράθρου καρπὸν, Αἰθιοπικὸν κύμινον, ἀδίαντον, [6]κόριον τὴν ποίην, ἀσταφίδας λευκάς· ταῦτα πίνων κἀκεῖνα ὠφεληθήσεται καὶ τάχιστα ὑγιὴς γενήσεται.

36. Ἄλλος ἴκτερος· οὗτος ἐπιλαμβάνει [7]χειμῶνος ἐν ὥρῃ ἐκ μέθης καὶ ῥίγεος· ἄρχεται δὲ τοπρῶτον ῥῖγος ἐπιλαμβάνειν, ἔπειτα [8]καὶ πυρετὸς κατέχει· τὸ δὲ ὑγρὸν [9]τὸ ἐν τῷ σώματι [10]πήγνυται ἐν τῷ δέρματι. [11]Τοῖσι δὲ δείκνυται ὅτι οὕτως ἔχει· πελιδνόν ἐστιν αὐτοῦ τὸ σῶμα καὶ ὑπόσκληρον, καὶ αἱ φλέβες διὰ τοῦ σώματος τέτανται ὠχραί· [12]μέζονες δὲ καὶ παχύτεραι ἢ πρόσθεν εἰσί· τέτανταί [13]τε ὑπομελάντεραι καὶ ἄλλαι φλέβες, καὶ ἢν τάμνῃ τίς τινα αὐτῶν, [14]ῥεύσεται τὸ αἷμα ὠχρὸν, ἢν ὠχραὶ ἔωσιν αἱ φλέβες· ἢν δὲ μέλαιναι [15]ἔωσι, μέλαν τὸ αἷμα ῥεύσεται. Καὶ τὸ ἱμάτιον πρὸς τῷ [16]σώματι προσκείμενον οὐκ ἀνέχεται ὑπὸ τοῦ κνησμοῦ. Οὗτος πρόθυμός [17]ἐστι

[1] Ψιλὸν EHKθ.–Ante ὡς addit δὲ H.–τὸ δὲ σκ. EHKθ.–Ante σκ. addunt αὐτῶ EHKθ.–σκευάσαι EK.–οὕτως EGIK.–οὕτω om. θ.–καὶ pro οὕτω, al. manu οὕτω H.–Ante διδ. addunt καὶ EK.–ἰσχάδων repetitur H.— [2] τοῦτο om. G.— [3] αὐτοῦ, al. manu αὐτὸ H.–εἴ τε J.–ξὺν Lind.–τῷ om. K.–κιρνὰς om. FGI.–κιρνᾶν (E, al. manu ὰς) (H, al. manu, erat prius ὰς) K.–κυρνὰς Ald.–μὴ πολὺ μηδὲ ἀθρόον θ.–ἀθρόου E.–καταφορὰν I.–τὸ pro φορὰν, al. manu φορὰν H.–ὅκως ἂν μὴ θ.— [4] αὐτῷ om. θ.–ἐπιγ. αὐτῶ EHK.— [5] διδόναι καὶ τάδε E.–νῆστις H.–νῆστιν K.–νῆστιν πίνειν E.–μαράθου (H, al. manu θρου) I.–ἀνδίαντον (sic) GI, Ald.— [6] κόρυον G, Ald. –πύην GIJ.–πόην H.–ἀσταφίδα λευκὴν EHKQ′, Lind.–καὶ ἐκεῖνα EHK.–ὠφελ. καὶ om. EHKP′Q′θ.–ἔσται pro γεν. EHKQ′, Lind., Mack.— [7] Ante χ. addunt μὲν EHP′Q′, Lind.–ἐν om. θ.–ὥρην, al. manu ἐν ὥρῃ H.–ἄρχεται δὲ πρῶτον μὲν τὸ ῥίγος ἐπιλαμβάνειν, εἶτα ὁ πυρετὸς κατέχει θ.–πάσχει δὲ τάδε pro ἄρχεται δὲ Lind.–πρῶτον EHK.–ἐπιλαμβάνειν om. FGIJ.–ἐπιλαμβάνει Lind.— [8] καὶ om. EHK.–κατέχει om. (E, restit. al. manu) H.— [9] τὸ om. Lind.— [10] τὸ (τὸ om. θ) ὑπὸ τῶ δέρματι πήγνυται (al. manu πήγνυται ἐν τῶ δέρματι H) ἅμα τῶ σώματι H (θ, αἵματι).–Post δέρματι

le malade boira ou le vin coupé avec cette eau, ou, s'il veut, cette eau seule; il en boira le plus qu'il pourra, et ne boira aucune autre eau. Si cette boisson ne lui agrée pas, on préparera celle-ci : prenez une chœnice de figues blanches, faites cuire dans deux conges d'eau, passez, exposez au serein; le patient boira cette eau soit seule, soit avec son vin. Il n'en boira pas beaucoup à la fois, mais seulement une demi-cotyle d'un trait, afin que la diarrhée ne le prenne pas; et il mettra un certain intervalle entre chaque tasse. Voici encore une préparation bonne à donner chaque matin à jeun : prenez une cotyle de vin blanc vieux, de la graine de persil, de la graine de concombre, de la graine de fenouil, du cumin d'Éthiopie, de l'adiante, de la coriandre, du raisin sec blanc, pilez et faites macérer. En prenant cette boisson et les boissons susdites, il sera soulagé et guérira promptement.

36. (*Autre ictère.*) Autre ictère : il attaque en hiver à la suite de l'ivresse et du refroidissement. D'abord le frisson se fait sentir, ensuite la fièvre s'établit; l'humide qui est dans le corps se coagule dans la peau. Voici ce qui montre qu'il en est ainsi : le corps du malade est livide et un peu dur; des veines jaunes s'étendent sur le corps, elles sont plus grandes et plus grosses qu'auparavant; d'autres veines plus foncées s'y voient aussi; si on en ouvre quelqu'une, il sort un sang jaune des veines jaunes, et un sang noir des veines noires. Le malade, à cause de la démangeaison, ne supporte pas le vêtement appliqué sur

addit ἅμα τῷ σώματι E. — [11] ἐν (ἐν om. EHKθ, Ald.) τοῖσι vulg. – δηλοῖ EQ′, Lind. – ἀποδηλοῖ θ. – αὐτὸ δηλοῖ pro δείκνυται H. – ὡς pro ὅτι θ. – πελιδνὸν [δέ] ἐστι Lind. — [12] καί εἰσι μέζονες ἢ πρόσθεν (πρόσθε, al. manu ev H) καὶ παχύτεραι EHK. – καὶ μείζονες ἢ πρόσθεν καὶ παχύτεραι θ. – μείζονες vulg. — [13] δὲ pro τε EKθ. – καὶ ὑπομελάντεραι ἄλλαι φλέβες θ. – τάμη EH, Mack. – αὐτέων Lind. — [14] ῥεύσει ἐξελεύσεται (ῥεύσεται sine ἐξελ. E, FG supra lin. ἐξελεύσεται ut glossema, HJKP′Q′, Lind.) vulg. – ἐάν περ (ἤν περ Q′, Lind.; ἤν sine περ EHKP′) vulg. – εἰσὶν G, Ald. — [15] ἐῶσι Ald. — [16] χρώματι vulg. – χρωτὶ P′. – σώματι Eθ, Lind., Mack. — [17] ἐστὶ om. (H, restit. al. manu) θ. – πρὸς τὸ om. θ. – πορεύεσθαι καὶ om. (H, restit. al. manu) θ. – περιφοιτᾶν θ. – ἀλλὰ HK. – ἀσθενείας H. – οὔπω om. EHP′Q′θ, Lind., Mack.

πρὸς τὸ πορεύεσθαι καὶ φοιτῆν, ἀλλ' ὑπὸ τῆς ἀσθενείης αὐτοῦ τὰ σκέλεα ὑποφέρεται, καὶ διψῇ σφόδρα. Αὕτη ἡ νοῦσος οὔπω ἧσσον τῆς προτέρης θανασίμη· προέρχεται δὲ πλείω χρόνον, [1]ἢν μὴ ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν ὑγιὴς γένηται· ἢν δὲ ἡ νοῦσος ἀπομηκύνηται καὶ γένηται ὄγδοος ἢ ἔννατος, [2]συμπίπτει ἐς κλίνην, [3]καὶ ἡ νοῦσος καὶ ἡ ἀλγηδὼν πιέζει μᾶλλον, καὶ ἀνίστασθαι οὐ δύναται, καὶ οἱ πολλοὶ ἐν τούτῳ τῷ χρόνῳ παραχρῆμα φθείρονται. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς μὲν [4]τῆς νούσου ἢν παραγένηται, ὁκόταν ἤδη αἱ ἑπτὰ ἡμέραι παρέλθωσιν, ἐλλέβορον πῖσαι, τὴν δὲ κάτω κοιλίην χυλῷ ὑποκαθῆραι, ὡς ἐν [5]τῷ πρόσθεν, καὶ τἄλλα τὰ αὐτὰ διδόναι φάρμακα. Διδόναι δὲ καὶ κανθαρίδας, ἄνευ πτερῶν καὶ κεφαλῆς, τέσσαρας τρίβων [6]καὶ διεὶς οἴνῳ λευκῷ ἡμικοτυλίῳ, ἤδη δὲ καὶ μέλι παραχέαι ὀλίγον, εἶτα οὕτω διδόναι πιεῖν· [7]τοῦτο πινέτω δὶς ἢ τρὶς τῆς ἡμέρης. Προϊούσης δὲ τῆς νούσου λουτροῖσι καὶ πυριήμασι θεραπεύειν· ἐσθιέτω δὲ ἄσσα προσίεται· οἶνον δὲ πινέτω λευκὸν, αὐστηρὸν, καὶ τἄλλα τὰ αὐτὰ [8]προσφερέσθω ἃ καὶ τῇ πρόσθεν. Αὕτη ἡ νοῦσος χρονίη καὶ χαλεπὴ, ἢν μὴ κατ' ἀρχὰς καλῶς μελετηθῇ.

37. Ἄλλος ἴκτερος· ἐπιδήμιος [9]οὗτος καλέεται, διότι πᾶσαν ὥρην ἐπιλαμβάνει· γίνεται δὲ ἀπὸ πλησμονῆς μάλιστα καὶ μέθης, [10]καὶ ἐπειδὰν ῥιγώσῃ. Εὐθέως οὖν τὸ σῶμα ἀλλοιοτροπέει καὶ γίνεται ὠχρὸν, καὶ οἱ ὀφθαλμοὶ σφόδρα ὠχροὶ, καὶ ὑπὸ τὰς τρίχας καὶ [11]ὑπὸ τοὺς ὄνυχας ἡ νοῦσος ὑπέρχεται, καὶ ῥῖγος καὶ πυρετὸς βληχρὸς ἔχει, καὶ [12]ἀσθενέει τὸ σῶμα, καὶ ἐν τῇ κεφαλῇ ὀδύνη ἔχει, καὶ οὐρέει ὠχρὸν καὶ παχύ. Οὗτος ὁ ἴκτερος ἧσσον θανατώδης τῶν πρόσθεν, καὶ [13]θεραπεύεται μελετώμενος ἐν τάχει. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, σχάσαι αὐτοῦ τοὺς ἀγκῶνας καὶ ἀφαιρέειν τοῦ αἵματος, ἔπειτα πυ-

[1] Ἢν (εἰ H) (addit γὰρ Lind.) μὴ ἐν τῇσι πρώτῃσιν ἡμέρῃσιν (addit ἀποθάνοι Lind.) ἔπειτα ὑγιὴς γίνηται vulg. – ἢν μὴ ἐν τῇσιν ἑπτὰ (addit πρώτῃσιν Mack) ἡμέρῃσιν ὑγιὴς γένηται θ, (Mack, γίνεται). – ἔνατος HK, Frob. — [2] ξ. Lind. – εἰς (ἐς θ, Lind., Mack; εἰς om. Q'; ἡ pro εἰς E) νοῦσον (νοῦσος EQ'; κλίνην pro ν. θ, Mack) vulg. — [3] καὶ ἡ ν. om. E. – διαφθείρονται θ. — [4] τῇ νούσῳ θ. – νόσου J. – παραγένη FGJKθ. – ἤδη om. (H, restit. al. manu) θ. – αἱ om. K. — [5] τῇ θ, Mack. – πρόσθε, al. manu θεν H. – ἄνευ τῶν πτερῶν καὶ τῆς κεφαλῆς θ. – κεφαλὰς, al. manu ῆ; H. — [6] καὶ om. EK. — [7] τοῦτο [δὲ] Lind. – ἄσσα ἂν θ. – προσίηται E (H, al. manu ίε) Kθ. — [8] προσφέρειν (H, al. manu προσφερέσθω) θ. – προσφερέτω EK. – τῷ pro τῇ θ, Mack. – μὴ post ἀρχὰς θ. – καλῶς om. (H, restit. al. manu) θ. — [9] οὗτος om. θ. – ὥραν J. — [10] καὶ om. EHK. – εὐθὺς θ. – ἄλλοις τροπέει (sic) K. — [11] ὑπὸ om.

§ 8. (*Obliquité de la matrice.*) Si les matrices se portent vers la hanche, les règles manquent; de la douleur gagne le bas-ventre et le flanc; et, si vous touchez avec le doigt, vous trouverez l'orifice vers la hanche. Les choses étant ainsi, lavez avec l'eau chaude, donnez à manger beaucoup d'ail, à boire du lait pur de brebis, après le manger. Puis, après fumigation, administrez un médicament qui évacue par le bas; après la purgation, vous ferez une nouvelle fumigation aux matrices avec un mélange de fenouil et d'absinthe. Sortant de la fumigation, on ramènera l'orifice avec le doigt. Puis on mettra le pessaire de scille, et, subséquemment, après un intervalle, le pessaire de narcisse; si la mondification paraît faite, le pessaire de nétopon (*huile d'amandes amères*); le lendemain, le parfum de roses. On cessera les pessaires la veille des règles, et on les commencera le lendemain du jour où elles auront cessé. Lors

– σὺν θ. – ναρκισίνω CGIK. – Post διαλ. addit μίην Lind. — [10] ἐπὴν θ. – ἐνδέοι pro δέ σοι C. – δοκεῖ C. – νέτ. om. C. – προσθέσθω Cθ. – μῦρον J. — [11] δὲ προσθεμένη θ. – δὲ προσθεμένην C. – δὲ τοῦ προσθετεῖν (προσθέτειν HIK; προστιθέναι J; προσθετοῦ D) vulg. – τῇ om. C. – προτέρα J. – ἀπολείπη D.

αἷμα καταῤῥαγῇ· εἰ δὲ μὴ, πινέτω κανθαρίδας τέσσαρας, [1]ἀποκολούσασα τοὺς πόδας καὶ τὰ πτερὰ καὶ τὴν κεφαλὴν, καὶ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας, καὶ σηπίης ὠὰ, [2]σπέρμα σελίνου ὀλίγον ἐν οἴνῳ· καὶ ἢν ὀδύνη ἔνῃ καὶ ἢν στραγγουρίη ἔχῃ, ἐν ὕδατι θερμῷ καθήσθω, καὶ πινέτω μελίκρητον ὑδαρές· ἢν δὲ [3]μὴ καθαρθῇ ὑπὸ τοῦ πρώτου, αὖθις πινέτω, ἔστ' ἂν γένηται· ἐπὴν δὲ γένηται, ἀσιτήσασα [4]ξυνέστω τῷ ἀνδρί· ἐν δὲ τῇ καθάρσει τὴν λινόζωστιν ἐσθιέτω, καὶ πουλύποδας ἑφθοὺς, καὶ σιτίοισι μαλθακοῖσι χρεέσθω. Τῆς δὲ νούσου ἀπαλλάσσεται ἢν ἐν γαστρὶ σχῇ.

9. [5]Ἢν ἐκ τόκου μὴ καθαρθῇ, οἰδέει ἡ γαστὴρ καὶ τὰ σκέλεα, καὶ ῥῖγος καὶ ὀδύνη τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας ἔχει· ἔστι [6]δ' ὅτε καὶ πρὸς τὰ σπλάγχνα [7]ἀνέρχεται, καὶ λειποψυχέει· ταῦτα πάσχει ἀρχομένης τῆς νούσου· ὁκόταν δὲ χρόνος ἐγγένηται, τὰ [8]κύλα τοῦ προσώπου ἐξερυθριᾷ. Ὁκόταν ὧδε ἔχῃ, πυριήσας τὰς ὑστέρας προσθεῖναι τὴν κυκλάμινον· πινέτω δὲ τὸ ξὺν τῇ δαδὶ, ἔστ' ἂν τὸ ῥεῦμα κινηθῇ· [9]ἐσαλείφειν δὲ ἐς τὸ στόμα τῶν ὑστερέων στέαρ χήνειον καὶ σμύρναν καὶ ῥητίνην χλιερὴν, καὶ ἐμπλασσέσθω ὡς μάλιστα, καὶ πρὸ τοῦ [10]σιτίου ἐσθιέτω ἑψοῦσα τὴν λινόζωστιν, καὶ σκόροδα, καὶ πράσα, καὶ κράμβης τὸν χυλὸν ῥοφεέτω, καὶ σιτίοισι μαλθακοῖσι χρήσθω, θαλασσίοισι δὲ μᾶλλον, καὶ λουέσθω [11]θερμῷ· τῶν δὲ λιπαρῶν καὶ τῶν γλυκέων ἀπεχέσθω, ἕως ἂν ὑγιὴς γένηται.

10. [12]Ἢν αἱ μῆτραι [13]φλεγμήνασαι πρησθῶσι, φῦσα ἐγγίνεται,

[1] Ἀποκολούσασα θ. – ἀποκαυλούσασα C. – ἀποκόψασα vulg. – κόκκους πέντε om. C. – σιπύης FGK, Ald. – σιπίης CHI. — [2] [καὶ] σπ. Lind. – λίνου vulg. – σελίνου Corn. ex libro II de Morb. mul. – σελίνου paraît préférable pour un remède emménagogue. – ὀλίγον Cθ. – ὀλ. om. vulg. – ἡ pro ἢν C. – Ante ὀδύνη addit μὴ θ. – ἔνῃ ex libr. II de Morb. mul. – ἔχῃ (ἔχει C) pro ἔνῃ vulg. – Lind. supprime ἔχῃ et ἢν, correction à laquelle on échappe avec ἔνῃ. – καθίσθω θ. — [3] μὴ om. C. — [4] σ. Cθ. – δὲ om. C. – λινόζωστιν Cθ. – λινοζώστιδα vulg. – λινοζῶστιν J. – μαλακοῖσι J. – χρήσθω Cθ. – νούσου CD, Lind. – νόσου vulg. – ἢν Cθ. – ἐὰν vulg. – ἔχῃ θ. — [5] ἕβδομον J. – περὶ τῆς ἐκ τόκου μὴ καθαιρομένης, καὶ θεράπεια αὐτῆς θ. – οἰδέῃ Ald. – νειαίραν C. – νειαίρην D. – νειέρην H. – νείαιραν vulg. – νειαιρὴν Lind. – ἔχῃ θ. — [6] δὲ ὁκόταν C (ὁκότε θ). — [7] ἀνέρχονται C. – λειποψυχέει CDHJ, Lind. – λιποψυχέει vulg. – ἀρχόμενος C. – νούσου CDHJ, Lind. – νόσου vulg. — [8] κοῖλα vulg. – κοίλα θ. – κοινὰ C. – Voy. Schneider, Lex., au mot κυλοιδιάω. – ὁκόταν οὖν vulg. – οὖν om. Cθ. – κλάμινον (sic) C. – σὺν C. – δαιδὶ vulg. – δαδει (sic) θ. – δαδὶ C. — [9] ἐπαλ. D. – ἐς ἀλείφει (sic) θ. – στέαρ C. – ἔλαιον pro στέαρ vulg. – χήνιον θ. – σμύραν (sic) C. – χλιερὴν θ. – χλιηρὴν DK. – χλιαρὴν vulg. –

des règles, si le sang fait éruption, très-bien; sinon, la femme prendra en breuvage quatre cantharides sans les pieds, les ailes et la tête, cinq grains noirs de pivoine, des œufs de sèche et un peu de graine de persil dans du vin. S'il survient de la douleur et de la strangurie, elle prendra un bain de siége chaud, et boira du mélicrat étendu d'eau. Si une première administration n'amène pas les règles, on recommencera jusqu'à ce qu'elles arrivent; les règles arrivées, elle s'unira, à jeun, avec son mari. Pendant les règles, elle mangera de la mercuriale, des poulpes bouillis, et usera d'aliments émollients. Elle guérit de la maladie en devenant enceinte.

9. (*Lochies coulant mal.*) Quand à la suite de l'accouchement les purgations ne procèdent pas, le ventre se gonfle ainsi que les jambes; il y a frisson; la douleur se fait sentir au bas-ventre et aux lombes; parfois même elle gagne les viscères, et la malade est prise de défaillance. Elle éprouve ces accidents au début; quand le mal se prolonge, le dessous des yeux rougit. Les choses étant ainsi, on fumige les matrices, et on met en pessaire le cyclamen. Elle boira la préparation avec les branches de pin (*tæda, pinus abies*), jusqu'à ce que le flux commence. On oindra l'orifice des matrices avec la graisse d'oie, la myrrhe, la résine chaude, et on en mettra le plus possible. Avant le repas, elle mangera de la mercuriale cuite, de l'ail et du porreau; elle boira l'eau de chou; elle usera d'aliments émollients, venant surtout de la mer; elle se lavera à l'eau chaude. Elle s'abstiendra des choses grasses et douces jusqu'au retour de la santé.

10. (*Air développé dans la matrice et leucorrhée.*) Si les

ἐμπλαζέσθω vulg. – ἐμπεζέσθω C. – ἐμπλασσέσθω K. — [10] σίτου Cθ. – ἑψουσα (sic) C. – τὴν λινόζωστιν ἑψ. D. – λινόζωστιν Cθ. – λινοζῶστιν vulg. – ῥηφεέτω (sic) C. – ῥοφεέτω Lind. – ῥοφείτω vulg. — [11] θ. om. J. – τῶν δὲ γλ. καὶ τῶν λιπαρῶν θ. – ἔστ' pro ἕως C. — [12] ὄγδοον J. – περὶ μήτρης φλέγματος καὶ ἐμπρήσεως, καὶ θεράπεια αὐτῆς θ. — [13] φλέγματας πλησθῶσιν Vatic. Codd. ap. Foes in not. – πλησθῶσι vulg. – πληθῶσι Ald. – πλησθῶσι, eadem manu ρ C. – La leçon par ρ est la bonne. – φύσσα CJ. – ἐνγίγνεται θ. – καὶ τὰ ἐ. λ. ἐπ. om. C. – ἐμμηνα θ. – ἐπέρχεται DGHIJKθ, Ald., Lind. – ἀπέρχ. vulg. – [καὶ] φλεγμ. Lind. – φλεγματώδης C.

καὶ τὰ ἐπιμήνια λευκὰ ἐπέρχεται φλεγματώδεα· ἔστι δ' ὅτε [1]καὶ αἷμα λεπτῶν ὑμένων ἔμπλεων· καὶ τῷ ἀνδρὶ ὑπὸ τῆς ὑγρότητος οὐκ ἐθέλει μίσγεσθαι, καὶ ὠχρὴ καὶ λεπτὴ γίνεται. [2]Ἐρέσθαι οὖν χρὴ αὐτὴν τὸ ῥέον ἢν δάκνῃ τε καὶ ἐξελκοῖ· καὶ ἢν μὴ [3]δάκνῃ, ἀπὸ τοῦ ἐγκεφάλου φάναι εἶναι τὸ ῥεῦμα· [4]εἰ δ' οὖν, ἀπὸ τῆς κοιλίης. Ἢν μὲν οὖν ἀπὸ τῆς κοιλίης ᾖ, ἐμείτω ἀπὸ τοῦ φακίου· ἔπειτα ἐλλεβόρῳ καθῆραι, ἔπειτα [5]ἐς τὰς ῥῖνας ἐνεῖναι· ἐπὴν δέ σοι ἡ ἄνω κοιλίη κεκαθάρθαι δοκέῃ, φάρμακον πῖσαι κάτω· [6]σιτίων δὲ ἀπεχέσθω λιπαρῶν καὶ γλυκέων· τὰ δὲ ὀριμέα προσφέρειν ὡς ξύμφορα, ἢν [7]μὴ τὰ αἰδοῖα ἡλκωμένα ἔῃ· ψυχρὰ δὲ ἀμείνω· καὶ λουέσθω ὀλίγῳ, πλὴν μὴ θερμῷ, μηδὲ τὴν κεφαλήν· πινέτω δὲ νῆστις ὑπερικὸν, λίνου σπέρμα, ἐλελίσφακον ἐν οἴνῳ ὑδαρεῖ· ἐπὴν δὲ παύσηται τὸ ῥεῦμα, κλύσαι τῷ χυλῷ τῶν [8]ὀλύνθων, καὶ μεταχλύζειν τοῖσι στρυφνοῖσιν. Ἡ δὲ νοῦσος χαλεπή.

11. [9]Ἢν αἱ μῆτραι φλεγμήνωσι, τὰ ἐμμήνια οὐ γίνεται παντάπασιν, ἢ πονηρὰ καὶ ὀλίγα· καὶ ὁκόταν νῆστις [10]ᾖ, ἔμετος αὐτὴν λαμβάνει· ὁκόταν δέ τι φάγῃ, ἐμέει τὰ σιτία, καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας, καὶ [11]λειποψυχίη ἴσχει· ἡ δὲ γαστὴρ ὁτὲ μὲν σκληρὴ, ὁτὲ δὲ μαλθακή ἐστι, καὶ φυσᾶται, καὶ μεγάλη γίνεται, καὶ δοκέει ἐν γαστρὶ ἔχειν· ἢν [12]δὲ ἀφασσήσῃ, κενεὸν γίνεται τὸ πλήρωμα· ταύτῃ μέχρι [13]μὲν δέκα μηνῶν τὸ οἴδημα κατ' ὀλίγον αὔξεται, οἷόν περ τῇ ἐν γαστρὶ ἐχούσῃ· ἐπὴν δὲ οἱ δέκα μῆνες παρέλθωσιν, ἐμπίπλαται ἡ γαστὴρ [14]καὶ ὕδατος, καὶ ὁ ὀμφαλὸς ἐξί-

[1] Καὶ om. Cθ. – λεπτῶν C. – λεπτὸν vulg. – ἔμπλεων CDFGIJK, Ald. – ἔμπλεον vulg. – γίγνεται C. — [2] ἔρεσθαι I, Ald., Frob., Lind. – αἵρεσθαι θ. – ἔρεσθαι (sic) οὖν αὐτῇ χρὴ D. – ἐρέσθαι γοῦν αὐτὴν χρὴ J. – αἵρεσθαι οὖν χρῆσθαι οὖν χρὴ αὐτὴν C. – αὐτῇ HIK. – μὴ δάκνεται pro ἢν δάκνῃ τε C (θ, δάκνειται). – δάκνηται pro δάκνῃ τε DHIKQ'. – καὶ ἐξελκοῖ om. C. — [3] δάκνῃ Cθ. – δάκνηται vulg. – φαίην DFGHIJK. — [4] ἢν δὲ δάκνῃ pro εἰ δ' οὖν Cθ, Exempl. Vaticana ap. Foes. — [5] εἰς I, Ald. – καθάρθαι (sic) G. – δοκέῃ C. – δοκῇ vulg. — [6] σίτων Cθ. – σιτείων G. – ἀπεχέτω D. – ἀπέχεσθαι K. – καὶ γλυ. om. C. – συμφέρει pro προσφ. ὡς ξ. Cθ. – ξύμφορα J. – σύμφ. vulg. — [7] δὲ pro μὴ C. – εἴλκ. θ. – ἥλκ. I. – εἴη DFHIJKQ'. – ἔῃ Lind. – ᾖ (ᾖ om. C) vulg. – λούσθω θ. – ὀλίγῳ CDθ. – ὀλίγον vulg. – καὶ pro πλὴν Cθ. – ἐν θερμῷ DFGHIJKQ', Lind. – λινούσπερμα θ. – ὑδαρὲς C. — [8] ὀλίνθων DH. – ὀλόνθων Iθ. – ὀδόντων C. – τοῖς θ. — [9] ἔνατον J. – περὶ φλέγματος μήτρης καὶ θεράπεια θ. – ἐπιμήνια IKθ. – ἐκμήνια FGJ. – ἢ οὐ γίν. J. – παντάπασιν οὐ γίγνεται C (γίν. θ). – φαίνεται L. — [10] ᾖ om. C. – τι φ. om. C. – ἐμέῃ C. – ὀδύνην C. – ἔχει om. D. – κατὰ τὴν νειαίραν C. – νειαίρην D. – νειέρην H. – νείαιραν vulg. — [11] λιπο-

matrices enflammées se gonflent, il se développe de l'air, et les règles viennent blanches et pituiteuses; parfois s'écoule un sang ténu, plein de membranes. A cause de l'humidité des parties, la femme ne veut pas avoir de rapport avec son mari; elle jaunit et maigrit. Il faut lui demander si le flux est mordant et cause des ulcérations; s'il n'est pas mordant, dites qu'il vient de l'encéphale; s'il est mordant, dites qu'il vient du ventre. S'il vient du ventre, la malade vomira avec la décoction de lentilles; puis on l'évacuera avec l'hellébore, ensuite on en mettra dans les narines. Quand le ventre supérieur vous paraîtra assez purgé, un évacuant par le bas sera administré. Elle s'abstiendra d'aliments gras et doux. Les aliments âcres seront prescrits comme utiles, à moins que les parties génitales ne soient ulcérées; il vaut mieux les donner froids. Elle se lavera avec peu d'eau, qui ne sera pas chaude, et ne se lavera pas la tête. A jeun, elle boira l'hypéricon (*hypericum crispum*, L.), la graine de lin, la sauge, dans du vin coupé d'eau. Lorsque le flux aura cessé, on fera, avec le suc de figues vertes, des injections qui seront suivies d'injections astringentes. La maladie est difficile.

11 (*Inflammation de la matrice; gonflement du ventre; ascite.*) Si les matrices s'enflamment, les règles ne viennent pas du tout, ou ne viennent que peu et mauvaises. Quand la femme est à jeun, elle est prise de vomissement; si elle a mangé quelque chose, elle revomit les aliments. La douleur tient le bas-ventre et les lombes; il y a défaillance. Le ventre est tantôt dur, tantôt mou; il se météorise; il devient gros, et on dirait une grossesse; mais, si vous touchez, la tumeur est vide. Le gonflement croît peu à peu jusqu'à dix mois, comme

θ. – ἀποψυχίη DFGHIJK. – λειποψυχεῖ· ἴσχει δὲ ἡ γαστὴρ C. – καὶ ἡ γαστὴρ J. – τότε (bis) Cθ. – φυσσᾶται J. — [12] δὲ σαψάσσῃ C. – δὲ σαφάσσῃ θ. – ἐσφασσήσῃ Vaticana exempl. ap. Foes. – ἐσαφάσσῃς Lind. – γίγνεται C. — [13] μὲν om. K. – τῶν δέκα vulg. – τῶν om. CHIJKθ. – αὔξεται om. Cθ. – ὥσπερ D, Lind. – τῇ om. Cθ. – οἷόν περ ἐν τῇ γαστρὶ ἐχούσῃ DH. — [14] καὶ C. – καὶ om. vulg. – ὕδατα F. – κωμφαλος (sic) pro καὶ ὁ ὀμφ. θ. – ἐξίσχῃ J. – ἴσχει C.

σχει, [1] καὶ ἢν ἐσαφάσσῃς τὸν δάκτυλον, εὑρήσεις τὰ στόμα ἰσχνὸν καὶ ξυμπεπτωκὸς τῆς μήτρης· καὶ [2] ἐπ' οὖν ἐφάνη τὰ ἐπιμήνια ὀλίγα καὶ πονηρὰ, καὶ τὰς κληῖδας καὶ τὸν τράχηλον λεπτύνεται, καὶ οἱ πόδες οἰδέουσιν. [3] Ὁκόταν ὧδε ἔχῃ, φάρμακον πῖσαι κάτω, καὶ προστιθέναι πρὸς τὰς ὑστέρας [4] ὁκόσα καθαίρει μὴ δάκνοντα, καὶ μετὰ τὴν πρόσθεσιν κλύζειν τὰς ὑστέρας, ἴσον τὸ ὄξος μίσγων ὀξύτατον· καὶ τὴν λινόζωστιν ἐσθιέτω, καὶ τὸν χυλὸν, ἐπιβάλλουσα ἅλητον, [5] ὁκόταν ἑφθὸν ᾖ, ῥοφεέτω. Ἡ δὲ νοῦσος ἐπικίνδυνός ἐστιν.

12. [6] Ἐρυσίπελας ἢν ἐν τῇσι μήτρῃσιν ἐγγένηται, οἴδημα γίνεται ἀπὸ τῶν ποδῶν ἀρξάμενον ἐς τὰ σκέλεα καὶ τὴν ὀσφύν· ὅσῳ δ' ἂν [7] πλείων χρόνος γένηται, οἰδέει καὶ ἡ γαστὴρ, καὶ ῥῖγος καὶ πυρετὸς λαμβάνει καὶ ἀσθένεια· ὑπὸ δὲ τῆς ὀδύνης οὐ δύναται [8] ἡσυχάζειν, ἀλλὰ ῥίπτει ἑωυτήν. Ἡ δὲ ὀδύνη ἀνέρχεται ἐκ τῆς νειαίρης γαστρὸς ἐς τὰς ἰξύας· ἔπειτα ἄνω [9] ἔρχεται ἐπὶ τὰ ὑποχόνδρια καὶ τὰ στήθεα καὶ τὴν κεφαλὴν, καὶ δοκέει ἀποθανεῖσθαι· ὁκόταν δὲ ἀνῇ, νάρκη λαμβάνει τὰς χεῖρας· ἔστι δ' ὅτε καὶ [10] τοὺς βουβῶνας καὶ τὰ σκέλεα καὶ τὰς ἰγνύας· [11] καὶ πελία γίνεται, [12] καὶ ὀλίγον ποτὲ χρόνον ῥᾴων δοκέει εἶναι, ἔπειτα αὖθις τὰ αὐτὰ πάσχει, καὶ ὁ [13] χρὼς φλυκταινῶν καταπίμπλαται, καὶ τὸ πρόσωπον ἐρυθήματα φύει, καὶ [14] δίψα ἔχει ἰσχυρὴ, καὶ ὁ φάρυγξ ξηρός. Αὕτη ἡ νοῦσος

[1] Κἢν θ. – ἐσσαφέσσῃ F. – ἐσαφήσῃ CD. – ἐσαφάσσῃ HIJθ, Ald. – ἐσαφάσῃ K. – ἐσαφεύσσῃ G. – ἐς τὸν DFGHIJK. – τῷ δακτύλῳ Q', Lind. – εὑρήσει Cθ. – καὶ om. C. – συμπ. CKθ. — [2] ὅπου (ἐπὴν C) ἐφάνη vulg. – ἐπουνεφάνη θ. – La leçon de θ est la bonne; voy. t. VI, p. 271, la note additionnelle. – ὀλίγα [ἐστὶ] καὶ Lind. — [3] καὶ ὁκόταν C. – οὖν (δὲ pro οὖν θ; οὖν om. C) ὧδε vulg. – τε pro τὰς C. — [4] ὅσα Cθ. – μὲν μὴ C. – ὄζος C. – μεῖζον pro μίσγων C. – ὀξυτάτῳ DH. – ὀξυτάτου θ. – ὀξύτητι J. – λινόζωστιν CD. – λινοζῶστιν vulg. – ἐπιβάλλουσιν C. — [5] καὶ (καὶ om. Cθ) ὁκ. vulg. – ῥοφεέτω J. – ῥοφείτω vulg. — [6] δέκατον J. – ἢν ἐρ. δὲ ἐν vulg. – ἐρ. ἢν ἐν. Cθ. – ἐγγίνηται C. – οἴδημα γίν. om. (D, restit. al. manu) FGHIJK. – ἀρξάμενος (D, al. manu ον) HJ. – ἀρξάμενα FG. – καὶ ἐς vulg. – καὶ om. Cθ. – σκέλη DK. – τὴν ὀσφῦν CDGHIJKθ, Ald., Frob., Lind. – τὴν om. vulg. – ὀσφῦν vulg. — [7] πλείω Cθ. – ὁ χρόνος vulg. – ὁ om. CDFHIJθ. – γένηται C. – ἐγγένηται vulg. – οἰδέει J, Lind. – οἰδεῖ vulg. — [8] ἡσυχάζων θ. – ῥέπει K. – σαυτὴν θ. – ἀνέρχεται post γαστρὸς C. – νειαίρας C. – νειέρης H. – νιαιρὰς θ. – νειαιρῆς Lind. — [9] ἔρχ. om. C. – ἐπὶ C, Vaticana exempl. ap. Foes, Lind. – ὑπὸ vulg. – ἄνη C. – ἂν ἡ Ald. — [10] αὐτοὺς pro τοὺς C. – τοὺς pro τὰς C. — [11] καὶ om. CDFGHIJ Kθ, Ald. – Cette unanimité de nos mss. à rejeter ce καὶ mérite considéra-

chez une femme enceinte; mais, quand les dix mois sont passés, le ventre s'emplit d'eau, le nombril devient saillant; et, si vous touchez avec le doigt, vous trouverez l'orifice de la matrice mince et affaissé. A ce moment se montrent des menstrues peu et mauvaises. La femme maigrit des clavicules et du cou, et les pieds enflent. Les choses étant ainsi, un évacuant par le bas sera administré; et on appliquera aux matrices ce qui purge sans irriter; après l'application de ces pessaires, on fera dans les matrices une injection moitié eau et moitié vinaigre très-fort. La malade mangera de la mercuriale, et elle en prendra l'eau en potage, y jetant de la farine qu'elle y laissera cuire. La maladie est dangereuse.

12. (*Phlegmasie utérine.*) Quand l'érysipèle survient dans les matrices (Aph., v, 43), il se forme un gonflement qui, commençant par les pieds, gagne les jambes et les lombes. A mesure que le temps se passe, le ventre se tuméfie aussi; il y a frisson, fièvre et faiblesse. La douleur empêche la malade de reposer, et elle est en proie à la jactitation. La douleur va du bas-ventre aux lombes; puis elle monte aux hypochondres, à la poitrine et à la tête, et la malade semble expirante. Quand la douleur se relâche, l'engourdissement s'empare des bras; parfois des aines, des jambes et des jarrets. La femme devient livide; par moments elle paraît être mieux, puis bientôt elle éprouve les mêmes accidents. La peau se remplit de phlyctènes, le visage se couvre de rougeurs, la soif est intense, et la gorge sèche. Cette maladie, survenant chez une femme en-

tion; toutefois, en comparant le passage parallèle, De Morb. mul., II : νάρκη ἔχει τὰς ἰξύας καὶ τοὺς βουβῶνας καὶ τὰ σκέλεα, καὶ ἐν τῇσιν ἰγνύῃσιν πελία γίνεται, on reste dans le doute. – πελιὸς vulg. – πέλιος Lind. – πελιὰς Vaticana exempl. ap. Foes. – πελιὰ C. – πελια (sic) θ. – γίγν. C. — [12] καὶ ὁκόταν (ὅταν θ) ὀλ. χρ. ῥ. δοκέῃ (δοκέει θ) εἶναι Cθ. – δοκέῃ Ald. – ἔπειτ' D. – ἔπ. [δὲ] Lind. – ἴσχει pro πάσχει Cθ. — [13] χρόνος, al. manu χρὼς D. – χρόος GHIJ. – φλικταίνων C. – φλυκταίνων IJKθ. – φλυκτενῶν H. – τὰ πρόσωπα C. – [ἐς] τὸ πρ. Lind. – ἴσχει pro φύει Cθ. — [14] δίψη D. – ἔχει om. Cθ. – φάρυγξ est ordinairement du féminin dans la Collection hippocratique; voy. t. V, p. 541, note 9. Ici l'unanimité de nos mss. rapprochée du passage du t. V, peut faire douter de la règle posée par Galien.

[1] ἢν μὲν κυούσῃ ἐπιγένηται, ἀποθνήσκει· ἢν δὲ μὴ, μελεδώνῃ ἐκφυγγάνει. [2] Ὁκόταν ὧδε ἔχῃ, προσφέρειν δεῖ, ἢν ὁ πόνος ἔχῃ, ψύγματα, καὶ τὴν γαστέρα ταράσσειν. [3] Καὶ ἢν μὲν ἐν γαστρὶ ἔχῃ, σιτίοισι καὶ ποτοῖσι χρῆσθαι, ὅκως τὸ ἔμβρυον μὴ διαφθείρηται, ἢν δὲ μὴ ὑποχωρέῃ, κλύζειν· ἢν δὲ μὴ ἔχῃ ἐν γαστρὶ, φάρμακον δοῦναι πιεῖν, καὶ ὡς ἐλαχίστοισι σιτίοισι χρῆσθαι [4] καὶ ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι, καὶ τὴν λινόζωστιν ἐσθιέτω καὶ τὴν ἀκτὴν, καὶ μήτε ἁλυκὰ μήτε λιπαρὰ μήτε δριμέα, οἷον ὀρίγανον [5] ἢ θύμον ἢ πήγανον. Ἐπὴν δὲ τὸ πῦρ ἀφῇ καὶ τὸ πνίγμα, καὶ μὴ καταστῇ τὸ οἴδημα, φάρμακον ἰσχυρότερον μεταπῖσαι κάτω. Τὴν δὲ [6] νοῦσον ὀλίγαι διαφεύγουσιν.

13. [7] Ἢν αἱ μῆτραι παρὰ φύσιν χάνωσι, τὰ ἐπιμήνια πλέω τοῦ δέοντος ἔρχεται καὶ γλισχρότερα καὶ πυκνὰ, καὶ ἡ γονὴ οὐκ [8] ἐμμένει, καὶ ἢν ἅψῃ τῷ δακτύλῳ, εὑρήσεις κεχηνὸς τὸ στόμα, καὶ πῦρ, καὶ ῥῖγος, καὶ ὀδύνη λαμβάνει τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας. Αὕτη ἡ νοῦσος λαμβάνει ἐκ ῥόου αἱματώδεος· [9] γίνεται δὲ ὁκόταν τὰ καταμήνια ἐξαπίνης ἱστάμενα ῥαγῇ. [10] Κἂν ἡ ὀδύνη μάλιστα ἔχῃ, χλιάσματα προστιθέναι, [11] καὶ πυριῆν τὰς ὑστέρας, καὶ πῖσαι φάρμακον κάτω, καὶ προστιθέναι ὁκόσα μὴ δήξεται, καὶ κλύζειν μετὰ τὰ προσθετὰ [12] στρυφνοῖσι, καὶ λούεσθαι ὡς ἥκιστα· σιτίοισι δὲ ὡς ξηροτάτοισι χρέεσθαι· ἢν δὲ ταῦτα [13] ποιέουσα ὑγιὴς μὴ γένηται, φάρμακον πῖσαι, ὑφ' οὗ ἄνω καὶ κάτω καθαρσῖται· ὁκόταν τὰ ἐπιμήνια [14] κινέηται, καὶ ὁκόταν παύηται, διαιτᾶν τὸν αὐτὸν τρόπον. Ἡ δὲ νοῦσος θανατώδης.

[1] Ἐπὴν κυοφορούσῃ (κυοφορήσῃ DGHJ, Ald.) (εἰ FGHIJK) ἐγγίνεται (ἐγγίνηται H, Lind.) vulg. – ἢν μὲν κυούσησιν (κυούσῃ θ) ἐπιγένηται Cθ. – μελεδαινομένη ὑγιαίνει vulg. – μελεδωνὴ (sic) ἐκφυγγάνει C (θ, μελεδωνηι, sic). — [2] ὁκόταν οὖν vulg. – οὖν om. Cθ. – δεῖ προσφέρειν post ψύγματα IJ. – λίην pro δεῖ, ἢν θ. – ἔχει C. – Post ψύγματα addit δεῖ προσφέρειν H. — [3] καὶ om. Cθ. – ἢ pro ἢν C. – σίτοισι Cθ. – χρῆσθαι om. Cθ. – μὴ CFHIJθ, Ald., Lind. – μὴ om. vulg. – κλύζει θ. — [4] καὶ ὡς θ. – καὶ ὡς om. vulg. – χρήσθω pro μαλθ. C. – μαλθ. [τε] Lind. – λινόζωστιν CD. – λινοζῶστιν vulg. – ἐσθίειν Q', Lind. — [5] καὶ pro ἢ H. – ἢ π. ἢ θ. J. — [6] νοῦσον ταύτην (ταύτην om. Cθ) vulg. — [7] ἑνδέκατον J. – καὶ (καὶ om. Cθ) τὰ vulg. – ἐμμήνια C. – ἔμμηνα θ. – πλείονα Cθ. – ἔρχηται D. – πυκινὰ θ. — [8] ἐμμένῃ FGIJ, Ald. – τὸ στόμα om. Cθ. – λαμβάνῃ I. – νειαίραν vulg. – νείεραν H. – νειαίρην CD. – νειαιρὴν Lind. – Post γάστ. addit λαμβάνει C. — [9] γίγν. C. – δὲ om. C. — [10] καὶ ἢν sine ἡ D. – ἔχῃ, μάλιστα θ. — [11] καὶ ὁκόταν ᾖ (ἀνῇ Cornar., Lind.)

ceinte, cause la mort; hors l'état de grossesse, le traitement la guérit. Les choses étant ainsi, on administrera, s'il y a douleur, des choses rafraîchissantes, et on lâchera le ventre. En cas de grossesse, la femme usera d'aliments et de boissons de manière à ne pas avorter, et, si elle ne va pas à la selle, elle prendra des lavements. Mais, n'étant pas grosse, on lui fera boire un évacuant, et elle prendra le moins d'aliments possible, froids et les plus émollients. Elle mangera de la mercuriale et du sureau, et s'abstiendra des choses salées, des choses grasses, des choses âcres, telles que l'origan, le thym ou la rue. Quand la fièvre et l'étouffement cessent sans que le gonflement s'en aille, on lui administrera un purgatif plus énergique. De cette maladie peu réchappent.

13. (*Orifice utérin béant.*) Quand les matrices sont béantes contre nature, les règles viennent plus abondantes qu'il ne faut; elles sont plus visqueuses et reparaissent fréquemment. La semence ne demeure pas. Si vous touchez avec le doigt, vous trouvez l'orifice béant; il y a fièvre, frisson, douleur au bas-ventre et aux lombes. Cette maladie prend à la suite d'un flux sanguin; elle survient quand les règles, supprimées, font soudainement éruption. Si la douleur est intense, on fera des applications chaudes, des fumigations aux matrices; on prescrira un médicament qui évacue par le bas, et, en pessaire, ce qui n'irrite pas; après les pessaires, injections astringentes; très-peu de bains. La femme usera des aliments les plus secs. Si ces moyens ne rétablissent pas la santé, on prescrira un médicament qui évacue par haut et par bas. Au moment où les règles commencent et au moment où elles finissent, la malade suivra le même régime. Cette maladie est dangereuse.

πυριῇν vulg. – ὁκόταν ᾖ om. DGHIJK. – δήξηται vulg. – δέξηται CDGHIJK. – δήξεται θ. — [12] ἐν στρ. vulg. – ἐν om. Cθ, Ald. – στιφροισι (sic) θ. – ὡς ἥκιστα om. C. — [13] ποιέουσα Lind. – παθοῦσα vulg. – La correction de Lind. est bonne. – μὴ ὑγιὴς θ. – καθαίρηται vulg. – καθαριεῖται C. – καθαρεῖται θ. — [14] κινῆται C. – κινέεται HK. – διαίτα vulg. – δίαιτα DGI. – διαιτὰν Cθ, Vaticana exempl. ap. Foes, Lind.

14. [1] Ἢν αἱ μῆτραι ἐς τὸ μέσον τῶν ἰξύων ὦσιν, ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα καὶ τὰ σκέλεα ὕστερον, καὶ ὁκόταν ἀποπατήσῃ, ὀδύναι ἐγγίνονται [2] ὀξύτεραι, καὶ ὁ ἀπόπατος προέρχεται ὑπὸ βίης, καὶ τὸ οὖρον στάζει, καὶ λειποψυχέει. Ὁκόταν ὧδε ἔχῃ, αὐλίσκον προσδήσας [3] πρὸς κύστιν, φυσῆσαι τὰς ὑστέρας, [4] καὶ πυριῆσαι ἢ λοῦσαι πολλῷ θερμῷ, καὶ ὑποθυμιῇν ὑπὸ τὰ αἰδοῖα [5] κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας εὐώδεα· ὁκόταν [6] δὲ ἡ ὀδύνη παύσηται, φάκιον προπίσας, φάρμακον πῖσαι ἄνω, ὑφ' οὗ ἡ κοιλίη οὐ κινηθήσεται. Ἐπὴν δὲ αἱ ὑστέραι καταστῶσιν ἐς χώρην, φάρμακον πῖσαι κάτω καὶ γάλα μεταπῖσαι· ἔπειτα πυριήσας τὰς ὑστέρας [7] οἴνῳ, τὰ σὺν τῇ δάφνῃ ἐμβάλλειν, καὶ προστιθέναι ἃ μὴ δήξεται, ξυμμίσγων τὸ ὄξος· ἔπειτα ὑποθυμιῇν τοῖσιν ἀρώμασιν. Ἄτοκοι δὲ καὶ [8] χωλαὶ ἐκ ταύτης τῆς νούσου γίνονται.

15. [9] Ὁκόταν δὲ ῥόος λευκὸς ἐγγένηται, οἷον ὄνου οὖρον φαίνεται, καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας, καὶ οἰδήματα τῶν [10] τε σκελέων καὶ τῶν χειρῶν, καὶ τὰ κύλα αἴρεται, καὶ οἱ ὀφθαλμοὶ ὑγροί, καὶ ἡ χροιὴ ἰκτερώδης καὶ λευκὴ γίνεται, [11] καὶ ὁκόταν πορεύηται, ἀσθμαίνει. Ἡ δὲ νοῦσος γίνεται, ἣν φύσει ἐοῦσα φλεγματώδης πυρεταίνῃ, καὶ [12] χολὴ κινηθεῖσα μὴ καθαρθῇ· ἢν μὲν οὖν ἡ κοιλίη ᾖ ὀξέη, διάῤῥοιαι γίνονται· ἢν [13] δὲ ἐπὶ τὰς ὑστέρας τράπηται, ῥόος γίνεται. Ταύτην ἐπὴν [14] ῥόος ἔχῃ, τρίβων μή-

[1] Δωδέκατον J. – περὶ μητρῶν εἰς τὰς ψόας ἐνπίπτουσι (sic) θ. – εἰρύαται pro ὦσιν legit Cornar. – Il faut peut-être lire εἰλέωσι, comme dans le passage parallèle du IIe livre des Maladies des Femmes. – νειαίρην CD. – νείεραν H. – νειαιρὴν Lind. – ὕστατα Cθ. – ἐνγίνωνται θ. — [2] ὀξ. om. C. – προέρχεται CL, Lind. – προσέρχεται vulg. – ὑπὸ βίης Cornar. ex libro II de Morb. mul. – ὑπὸ βίης om. vulg. – λειποψυχέει CDHJ, Lind. – ληποψυχέει θ. – λιποψυχέει vulg. — [3] πρὸς [τὴν] Lind. – φυσσῆσαι J. – Il est très-probable qu'il y a ici une altération du texte; car le passage parallèle dit, non pas qu'on *insufflera* la matrice, mais qu'on y injectera de l'huile tiède. — [4] καὶ om. Cθ. – πυριήσας ἢ λούσας Cθ. – πολλῷ καὶ θερμῷ DGHJK. — [5] τὰ (τὰ om. Cθ) κακ. vulg. – τὰ (τὰ om. Cθ) εὐώδεα vulg. — [6] δὲ om. C. – ὧδε ἔχῃ pro δὲ θ. – φάκεον C. – προσπείσαι (sic) pro προπίσας C. – οὐ om. vulg. – Il faut ajouter οὐ non-seulement d'après le sens, mais aussi d'après le passage parallèle du IIe livre des Maladies des Femmes. – κοινηθήσεται C. — [7] ἐν οἴνῳ D. – ἐμβάλλειν Cθ. – ἐμβαλεῖν vulg. – προσθεῖναι C. – δήξεται CKQ'θ, Ald., Lind. – δέξηται D. – δέξεται GHIJ. – δήξηται vulg. – συμμ. Cθ. – ἐπιτεν (sic) pro ἔπειτα θ. — [8] χλωραὶ Cθ. – νόσου K. – γίγν. C. — [9] τρισκαιδέκατον J. – περὶ ῥόου λευκοῦ θ. – ῥόος λευκὸς Cθ. – λευκὸς ὁ ῥοῦς vulg. – ὡς pro οἷον

14. (*Déplacement de la matrice.*) Si les matrices sont au milieu des lombes, la douleur se fait sentir au bas-ventre, et, plus tard, aux jambes; quand la malade va à la selle, les douleurs sont plus aiguës; les selles ne sortent qu'à grand'peine; l'urine coule goutte à goutte, et il y a lipothymie. Les choses étant ainsi, attachez un tuyau à une vessie, et insufflez les matrices. Puis, donnez un bain de vapeur, ou lavez avec beaucoup d'eau chaude. Aux parties génitales, on fera une fumigation fétide; aux narines, une fumigation aromatique. Quand la douleur a cessé, on fait boire de l'eau de lentilles, et, ensuite, un vomitif qui ne mettra pas le ventre en mouvement. Les matrices étant remises à leur place, on administrera un médicament qui évacue par le bas, et, ensuite, du lait. Puis on fera aux matrices une fumigation de vin; on prendra la préparation au laurier et on l'appliquera en pessaire; elle n'est pas irritante; on y mêle du vinaigre; ensuite on fera une fumigation aromatique. Cette maladie rend les femmes stériles et boiteuses.

15. (*Leucorrhée.*) Quand il y a leucorrhée, le flux est comme de l'urine d'âne; la douleur tient le bas-ventre, les lombes et les flancs; les jambes et les bras s'œdématient; le dessous des yeux se gonfle, les yeux sont humides; la couleur est ictérique et blafarde, et la marche cause de l'essoufflement. Cette maladie survient quand la femme, étant naturellement pituiteuse, a la fièvre et que la bile mise en mouvement n'est pas évacuée; si le ventre est acide, ce sont des diarrhées qui apparaissent; si la fluxion se porte sur les matrices, c'est la leucorrhée. Quand il y a leucorrhée, pilez quantité égale d'écorce de pavot blanc et de pavot rouge, pilez le fruit de l'épine (*acacia*) dans du

Lind. – ὄνου Cθ, Vaticana exempl. ap. Foes, Lind. – ὄνου om. vulg. – ἐνφαίνεται θ. – ἴσχει Cθ. – νιαιρὰν θ. – νειαιρὴν Lind. – νείαιραν vulg. – νειαίραν C. – νειαίρην D. – νειέραν H. – τοὺς om. Cθ. — [10] τε om. Cθ. – κοῖλα vulg. – Voy. plus haut, p. 324, note 8. – ἰκτεριώδης J. – γίγν. Cθ. — [11] καὶ om. J. – ἀσθενεῖ θ. – γίγν. C. – οὗ ἂν pro ἢν C. – φύσῃ θ. – φλεγματώδη FG. – πυρετταίνῃ Frob., Lind. — [12] χολῇ I. – κοινηθεῖσα μὴ καθαρὸν C. – ἢ Cθ. – ᾗ om. vulg. – ὀξαίη D. – γίγν. C. — [13] δ' ἐς θ. – ἐς C. – ῥόες C. – γίνονται C. – γίνηται G, Ald., Frob. – ἐνγίνεται θ. — [14] διάῤῥοια vulg. – Il faut lire ῥόος.

κωνος [1] λευκῆς τὸ λέπυρον, τὸ ἴσον τῆς πυρρᾶς, ἀκάνθης τὸν καρπὸν τρίβων ἐν οἴνῳ κεκρημένῳ, ἄλφιτα ἐπιβαλὼν ποταίνια πινέτω· ἢν δὲ θέλῃς, [2] σίδην ἐς σποδὸν ἐγκρύψασα, ἐν οἴνῳ πινέτω, [3] ἄλφιτον ἴσον καὶ ἄλητον ἐπιβαλών· ὡς ἥκιστα δὲ λουέσθω· σιτίοισι δὲ χρήσθω ὡς ξηροτάτοισι καὶ ψυχροῖσιν· ἐπὴν δὲ παύσηται τὸ ῥεῦμα, φάρμακον [4] πῖσαι, ὑφ' οὗ τὰ ἄνω καθαίρεται, καὶ γάλα ὄνειον πινέτω· [5] ἐπὴν δὲ τὰ κάτω καθαρθῇ, βόειον γάλα πινέτω ἐπὶ τεσσαράκοντα ἡμέρας, ἢν δύνηται, [6] καὶ ἑξαιθριάσασα ἄκρητον, μίσγουσα ὕδατι τὸ τέταρτον μέρος· [7] ἑσπέρης δὲ ἐπὴν ἐκπίῃ, ῥοφείτω χόνδρον· ἐπὴν δὲ γένηται δεκαταίη, [8] ἀφαιρέειν τοῦ γάλακτος τὴν δεκάτην μοίρην [9] καὶ τοῦ ὕδατος· ὅσον δ' ἂν ἀφέλῃς, τοσοῦτον χλιεροῦ ἄρτι ἡμελγμένου πινέτω τὴν μοίρην, [10] τὴν δὲ αὔριον δύο μοίρας, ὡς ἐν τῇσι δέκα μοίρῃσιν [11] εἶναι ἀντὶ κεκρημένου ἄκρητον, καὶ ἐπὶ δέκα ἡμέρας πίνειν ἀφαιρέων τὸ δέκατον μέρος, καὶ τοῦ ῥοφήματος προστιθέσθω πλεῖον· ἐπὴν δὲ γένηται εἰκοσταίη, [ἀφαιρέειν τοῦ ἀκρήτου μοίρην ἐπὶ δέκα ἡμέρας· ἐπὴν δὲ γένηται τριακοσταίη,] πίνουσα τὴν δεκάτην [12] μοίρην τοῦ γάλακτος, ὑποχέων τρίτην ὕδατος μοίρην, πινέτω δέκα ἡμέρας, καὶ σιτίοισι χρήσθω· [13] καὶ οὕτω γίνονται αἱ ξύμπασαι ἡμέραι τεσσαράκοντα.

16. [14] Ἕτερος ῥόος· ἐπὴν διαβάλῃ τοὺς τόκους φύσει εὔτοκος ἐοῦσα, τὸ μὲν πρῶτον ἐπιλείπει τὰ ἐμμήνια, ἢ γίνεται ἐλάσσω, καὶ

[1] Λευκοῦ FGHJ. – τῶν πυρῶν pro τῆς πυρρᾶς J. – καὶ (καὶ om. CHθ) ἀκάνθης vulg. – ἐπιβάλλων C. – ποταίνια Cθ, Lind. – ποταίνεια vulg. — [2] εἰδέναι σπόδον ἐγκύψασα pro σίδην ἐς σπόδον ἐγκρύψασα C (θ, ἰδεῖν ἐς σπόδον ἐγκρύψασα). – ἐς πόδον F. — [3] καὶ (καὶ om. Cθ) ἄλφ. vulg. – ἐπιβάλλων θ. – δὲ om. Cθ. – λούσθω θ. — [4] Post π. addit κάτω θ. – τὰ om. CDFH. – καθαρθῇ DFGHIJK. – καθαίραι (sic) Ald. – καθαραὶ (sic) C. – καθαραι (sic) θ. — [5] ἐπὴν.... πινέτω om. C. – τὰ om. GIJθ, Ald. – βόϊον θ. — [6] Ante καὶ addit μετὰ τὴν κάτω κάθαρσιν πινέτω βόειον γάλα C. – ἑξεθριάσασα Cθ. – ἑξαιθριάσας vulg. – ἄκρητον (ἀκρήτου Lind.) οἴνου vulg. – οἴνου om. Cornar. – Cette correction de Cornar. me semble indispensable. – μίσγων vulg. – Lisez μίσγουσα. — [7] ἑσπερίσας C. – δὲ om. C. — [8] ἀφαιρέην θ. – μοῖραν C. – μοίραν θ. — [9] καὶ.... μοίρην om. C. – ὅσον δὲ ἀφ. vulg. – ὅσον δ' ἂν ἀφ. θ. – τοσοῦτο θ. – χλιαροῦ θ, Lind. – ἡλμεγμένου FGIK. – ἀνειμένου θ. – μοῖραν vulg. – μοίρην DHIJK. — [10] τὸ C. – τῇ GHI. – δὲ om. C. – μοῖρας pro μοίρας C. – δεκάτησι pro δέκα C. — [11] εἶναι ἀντὶ ὀλίγου (addunt καὶ Cθ) κεκρημένου ἄκρητον (ἄκρατον Cθ) καὶ ἐπὶ τέσσαρας ἡμέρας πίνειν ἀφαιρέων τὸ δέκατον μέρος, καὶ τοῦ ῥοφήματος προστίθεσθαι (προστιθέσθω CDFGIJKθ, Ald.) πλεῖον· ἐπὴν δὲ γένηται τεσσαρεσκαιδεκαταίη (τεσσαρασ-

vin coupé d'eau, ajoutez de la polenta fraîche, et faites boire; si vous aimez mieux, mettez une grenade sous la cendre, et faites-la boire dans du vin, après y avoir jeté partie égale de farine d'orge et de blé. La femme se baignera très-peu. Elle usera des aliments les plus secs et froids. Le flux ayant cessé, faites boire un médicament qui évacue par le haut, et prescrivez le lait d'ânesse. Quand les voies inférieures sont purgées, la femme boira du lait de vache pendant quarante jours, si elle peut; le lait pur aura été exposé au serein, puis on y ajoute un quart d'eau. Le soir, après avoir bu tout son lait, elle aura pour potage du gruau. Arrivée au dixième jour, elle retranchera la dixième partie du mélange de lait et d'eau; et autant elle aura retranché, autant elle boira de lait chaud, trait récemment. Le lendemain, elle boira deux parts de ce lait, de manière que dans les dix parties il y ait du lait pur au lieu de lait coupé; et pendant dix jours elle retranchera la dixième partie, ajoutant toujours au potage; arrivée au vingtième jour, elle retranchera une part du lait pur pendant dix jours; enfin, arrivée au trentième, elle boira la dixième partie du lait avec un tiers d'eau pendant dix jours, et prendra des aliments. Ce qui fera en tout quarante jours.

16. (*Métrorrhagie à la suite d'avortements.*) Autre écoulement : quand la femme, étant naturellement féconde, a des

καιδεκαταίη G), πίνουσα vulg. – Ce texte de vulg. ne peut subsister; les jours qui y sont énoncés ne sont que vingt-quatre; et il en faut quarante. C'est d'après ce calcul que j'ai fait les corrections et additions. Ὀλίγου de vulg. n'a pas non plus de sens; je l'ai supprimé, ne sachant quelle est la vraie leçon cachée dessous. Dix jours au lait coupé d'un quart d'eau; dix en diminuant le lait coupé et augmentant le lait pur d'une partie; dix jours en diminuant le lait pur; dix jours au lait coupé d'un tiers. — [12] μοίρην (bis) DHIJK. – μοῖραν (bis) vulg. – μοίραν (bis) θ, Ald. – σίτοισι Cθ. — [13] καὶ om. Cθ. – οὕτω DJ. – οὕτως vulg. – ὧδε Cθ. – γίγν. C. – γίνωνται Lind. – αἱ om. Cθ. – ἡμέραι om. Cθ. – πεντήκοντα CDGHIθ. – ν vulg. – τεσσαράκοντα Cornar., Lind. – La correction de Cornarius paraît devoir être acceptée. — [14] τεσσαρεσκαιδέκατον J. – περὶ ῥόου ἑτέρου θ. – ἕτερος ῥόος CFHIJθ. – ἕτ. ῥ. om. vulg. – διαβάλῃ vulg. – διαβαίη D. – διαβαίνῃ Lind. – διαβάλῃ HIJKθ. – διαβαίνει Q'. – ἄτοκος vulg. – Il me semble que le sens exige εὔτοκος. – ἐπιλείπει K. – ὑπολείπει vulg. – ὑπολίπει θ. – ἔμμηνα Cθ. – ἐπιμήνια K. – καὶ γίνεται vulg. – Lisez ἤ.

τὸν χρόνον ὑπερβάλλει ἐν ᾧ [1] ἐγίνετο πρόσθεν· ἔπειτα ἐξαπίνης ἐγένετο πολλὰ καὶ καθαρὰ καὶ ἰσχυρά· καὶ ἢν μέν οἱ ἅπαξ [2] γενόμενα ἔῃ, τὸ λοιπὸν κατὰ λόγον ἐν γαστρὶ ἴσχει· ἢν δὲ μὴ, τὸ [3] μὲν πρῶτον γίνεται καὶ δεύτερον καὶ τρίτον τοῦ μηνός· ἔπειτα τελευτήσει ἐξ ἑωυτοῦ ὁ ῥόος, [4] καὶ ὠχρή τε καὶ λεπτὴ γίνεται. [5] Ὅταν ὧδε γένηται, φάρμακον χρὴ πιπίσκειν καὶ ἄνω καὶ κάτω, καὶ γάλα μεταπιπίσκειν ὄνειον ἢ ὀρρόν· ἔπειτα μετὰ ταῦτα πυριήσαντα καθῆραι τὰς ὑστέρας φαρμάκῳ [6] ὃ μὴ δήξεται, ἔπειτα κλύσαι [7] τῷ σὺν τῷ ὄξει· ἔπειτα ὑποθυμιῆσαι τοῖσιν ἀρώμασι. Ποιέειν δὲ ταῦτα, ὅκως τῇ προτέρῃ τῶν ἐπιμηνίων ἢ πεποιημένα· καὶ μὴ γένηται ἀλουτοῦσα καὶ ἀσιτοῦσα· κυκεῶνα ἄναλτον παχὺν πίνουσα ὑποθυμιήσθω τοῖσιν ἀρώμασι, νέτωπον περιχέασα καὶ μύρον ῥόδινον· ἔπειτα τῷ ἀνδρὶ ξυνίτω.

17. [8] Ἢν αἱ κοτυληδόνες φλέγματος περίπλεαι γένωνται, τὰ [9] μὲν ἐπιμήνια γίνεται, καὶ ἐν γαστρὶ ἴσχει, διαφθείρει δὲ, ἐπὴν ἰσχυρότερον τὸ ἔμβρυον γένηται· [10] οὐ γὰρ δύναται ἴσχειν, ἀλλ' ἀπορρήγνυται. Γνοίης δὲ ὧδε· ὑγρὴ [11] γίνεται, καὶ ἀπορρέει μυξῶδες καὶ γλίσχρον, καὶ οὐ δάκνει, [12] καὶ τοῖσιν ἐμμηνίοισιν, ἐπὴν παύσηται τοῦ ῥεύματος, καὶ δύο ἡμερέων καὶ τριῶν μύξαι ἔρχονται [13] ἀπὸ τῶν ὑστερέων. Ταύτην δεῖ κλύσαι τῷ ἀπὸ τῶν ὀλύνθων, καὶ δὶς ἢ τρὶς μεταλύσας στρυφνοῖσι τὸ λοιπὸν προστιθέναι, ὑφ' οὗ καθαίρεται φλέγμα, καὶ τὰ μαλθακὰ πυριῆν, καὶ κλύζειν μετὰ τὰ προσθετά, ἴσον τὸ ὄξος μίσγων, καὶ ὑποθυμιῆν ἐν τοῖσιν ἐπιμηνίοισι [14] τοῖσιν

[1] Ἐγίγνετο C. – ἐγίνετο θ. – ἐγένετο vulg. — [2] γενόμεναι DGHI. – γινόμεναι J. – εἴη (ἢ DJ; ἢ GHIK) vulg. — [3] μὲν Cθ. – μὲν om. vulg. – γίγν. C. – ἔξω pro ἐξ ἑωυτοῦ C (θ, ἐξεο sic). — [4] καὶ Cθ. – καὶ om. vulg. – γίγν. θ. — [5] ὅταν ὧδε γένηται Cθ, Vaticana exempl. ap. Foes. – ὅταν ὧδε γ. om. vulg. – φάρμ. οὖν (οὖν om. Cθ) (μὲν οὖν K) vulg. – ἄνω τε pro καὶ ἄνω C. – καὶ ἄνω τε καὶ κ. θ. – ὀρὸν Cθ. – πυριήσασα J. — [6] ὦ C. – δήξεται Cθ, Lind. – δέξηται DG. – δήξηται vulg. — [7] τῷ Cθ. – τῷ om. vulg. – πεποιημένω C. – πεπληρωμένα DHQ', Lind. – ἀλουτοῦσα om. Cθ. – ἀλουτέουσα Lind. – καὶ Codd., Ald., Frob., Lind. – καὶ om. vulg. – ἀσιτέουσα Lind. – ἄναλτον κυκ. C. – κυκεῶνα [δὲ] Lind. – παχὺ C. – πίνουσα καὶ (καὶ om. Cθ) vulg. – ὑποθυμιείσθω vulg. – ὑποθυμιήσθω CDHIKθ. – μῦρον Ald., Frob., Lind. – ῥόδινον μύρον θ. – συνίτω C. – συνείτω θ. — [8] πεντεκαιδέκατον J. – περὶ τοῦ ἐν ταῖς κοτυλήδοσι φλέγματος διαγνωτε (sic) αὐτοῦ καὶ συμπτωμάτων θεράπεια θ. — [9] μὲν om. C. – ἐμμήνια CIJK. – ἔμμηνα θ. – καλῶς ἐπιγίνονται (ἐπιγίνωνται Ald.) vulg. – γίγνεται sine καλῶς C (θ, γίνεται). – [οὐ] καλῶς ἐπιγίνονται, καὶ ἢν ἐν

avortements, d'abord les règles manquent ou diminuent, et tardent plus qu'elles ne faisaient auparavant; puis tout à coup elles reparaissent abondantes, pures et avec force. Si cela n'arrive qu'une fois, elle devient du reste enceinte régulièrement. Dans le cas contraire, les règles d'abord se montrent dans le mois une seconde et une troisième fois; puis le flux s'arrête de soi-même, et la femme devient jaune et maigre. Les choses étant ainsi, on fera boire un médicament qui évacue par le haut et par le bas; puis prendre du lait d'ânesse ou du petit-lait. Cela fait, on administre une fumigation, et l'on purge les matrices avec un médicament qui ne soit pas irritant; ensuite on fait des injections au vinaigre, suivies de fumigations aromatiques. On prescrira cela de manière que le tout soit fait la veille des règles. La femme ne restera ni sans bains ni sans aliments; prenant un cycéon sans sel et épais, elle fera la fumigation aromatique, où entreront le netopon et le parfum de roses. Puis elle s'unira à son mari.

17. (*Humidité de la matrice, et avortements qui s'ensuivent.*) Si les cotylédons se remplissent de phlegme (Aph., v, 45), les règles viennent, à la vérité, et la femme conçoit, mais elle avorte quand grossit le fœtus, qui ne peut être retenu et se rompt. Vous connaîtrez ainsi cet état : la femme devient humide; elle a un écoulement muqueux et visqueux, qui n'est pas âcre; lors des règles, l'écoulement ayant cessé, des mucosités viennent de la matrice pendant deux ou trois jours. On fera des injections avec l'eau de figues vertes; puis, ayant fait deux ou trois fois des injections avec les astringents, on appliquera du reste un pessaire qui mondifie le phlegme; on fera des fumigations douces, et des injections après les pessaires avec un mélange égal d'eau et de vinaigre,

γαστρὶ ἔχῃ Foes in not., Lind. – ἰσχυρότερον om. C. — [10] ὅταν pro οὐ γὰρ C. — [11] γίγν. C. – ἀπορρέῃ Cθ. — [12] καὶ [σὺν] τοῖσιν Lind. – ἐμμήνοισιν Dθ. – ῥεύματος καθαιρομένη (καθ. om. C) vulg. – μῦξαι C. — [13] καὶ (καὶ om. θ, Lind.) ἀπὸ vulg. – δεῖ om. C. – ὀλόνθων θ. – ὀλίνθων DH. – ὁλονόων (sic) C. – καὶ pro ἢ CDGJ, Ald. – στριφνοῖσι C. – στιφροῖσι θ. – φλέγματα C. — [14] καὶ τοῖσιν J. – συνευδέτω Cθ. – συνευνάσθω DHIJK. – τῷ om. C.

ἀρώμασι· ἔπειτα δὲ ἀσιτέουσα καὶ ἀλουτέουσα συνευναζέσθω τῷ ἀνδρί.

18. [1] Ὁκόταν τὰ ἐπιμήνια κρυφθῇ, ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ δοκέει ἐπικεῖσθαί οἱ βάρος, καὶ τὰς ἰξύας πονέει καὶ τοὺς κενεῶνας· ὁκόταν δὲ πρὸς τὰ ὑποχόνδρια προσπέσωσι, [2] πνίγουσι, καὶ ἐμεῖ πυκινὰ ὀξέα, καὶ ἐπὴν ἀπεμέσῃ, ῥήϊον ἴσχει ὀλίγον χρόνον· [3] ἡ δὲ ὀδύνη καὶ ἐς τὴν κεφαλὴν καὶ ἐς τὸν τράχηλον φοιτᾷ. [4] Ἐπὴν μὲν λίην προσεστήκῃ, χλιάσματα προστιθέναι, καὶ ὑποθυμιῇν [5] κακώδεα, καὶ πίνειν διδόναι τὸν κάστορα καὶ τὴν κόνυζαν· [6] ἐπὴν δὲ κάτω, ὑποθυμιῇν τὰ κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας [7] τὰ εὐώδεα. Ἐπὴν δὲ παύσωνται αἱ ὀδύναι, φάρμακον δοῦναι πιεῖν, καὶ μεταπιπίσκειν γάλα ὄνου· ἔπειτα διδόναι χυμὸν, ἀφ' οὗ ἐμεῖται, καὶ πρὸς τὰς ῥῖνας προστιθέναι· ἐπὴν δὲ καθήρῃς, πυριήσας [8] τὰς ὑστέρας τοῖσι ξὺν τῇ δάφνῃ, προσθεῖναι τὸ [9] ξὺν τῇ ναρκίσσῳ· τρὶς δὲ διαλιπὼν πυρίης, προσθεῖναι τὸ ξὺν τῇ κανθαρίδι· τῇ δὲ ὑστεραίῃ στέαρ χήνειον· ἔπειτα διαλιπὼν τρεῖς ἡμέρας, [10] κλύσαι τῷ ξὺν τῷ ὄξει. Ἐν δὲ τοῖσι καθαρμοῖσιν ἐσθιέτω τὴν λινόζωστιν πρὸ τῶν σιτίων, καὶ σιτίοισι μαλθακωτάτοισι χρήσθω, καὶ [11] τὰ δριμέα τρωγέτω, καὶ λουέσθω θερμῷ δὶς τῆς ἡμέρης. Ἢν δὲ μὴ γίνηται [12] τὰ ἐπιμήνια, ταῦτα ποιήσαντα ἐν τῷ δέοντι χρόνῳ, πῖσαι κανθαρίδας, καὶ ἐπὴν γένηται, νηστεύσασα [13] καὶ ἀλουτήσασα καὶ ὑποθυμιήσασα, πρὸς τὸν ἄνδρα ἴτω.

19. [14] Ὁκόταν ἐν γαστρὶ ἔχουσα διαφθείρῃ τὸ ἔμβρυον μηνιαῖον

[1] Ἑκκαιδέκατον J. – περὶ ἐπιμηνίων κρύψεως συμπτωμάτων καὶ θεράπεια θ. – ὅταν J. – τὰ om. D. – ἔχει J. – νειαίραν C. – νείεραν H. – νείαιραν IK. – νειαιρὴν Lind. – οἱ post δοκέει Cθ. – προσπέσωσιν [αἱ ὕστεραι] Lind. — [2] Ante πν. addit κεφαλὴν ὀδύνη καὶ G. – πνίγουσι, καὶ ἐπὴν πυκνὰ ὀξέα ἀπεμέσῃ, ῥάων γίνεται vulg. – πνίγουσι, καὶ ἐπίπυκνα ὀξέα καὶ ἐπὴν ἀπεμέσῃ, ῥέαν ἴσχει C. – πνίγουσι, καὶ ἐμεῖ πυκινὰ ὀξέα, καὶ ἐπὴν ἀπεμέσῃ, ῥήϊον ἴσχει θ. — [3] ἀλλὰ καὶ ἐς τὴν κεφαλὴν ὀδύνη pro ἡ δὲ ὀδ. κ. ἐς. τ. κ. DFHIJK. – καὶ ἐς τὴν κ. ὀδύνη καὶ ἐς τὸν τρ. φοιτᾷ Cθ. – καὶ ἐς τὴν κεφ. om. G. — [4] ἐπὴν οὖν (οὖν om. C) μέλλῃ, ἢν προσεστήκῃ (ἢ pro ἢν προσ. Lind.) vulg. – ἐπὴν μὲν λίην προσεστήκῃ θ. — [5] κακώδεα, κάτω δὲ εὐώδεα (κάτω δὲ εὐ. om. C) vulg. – κόρυζαν C. — [6] ἐπὴν.... εὐώδεα om. C. – κάτω [φοιτᾷ] Lind. — [7] τὰ om. K. – αἱ om. C. – ὄνου om. C. – χῦμον C. – αἱμεῖται C. – καθήρῃς θ. – καθάρῃς vulg. — [8] τὰς ὑστέρας τοῖσι om. C. – σὺν Cθ. — [9] σὺν Cθ. – τρὶς θ. – τρεῖς vulg. – δὲ om. Cθ. – πυρίας vulg. – πυριήσας θ. – πυρίης C. – σὺν Cθ. – χήνειον θ. — [10] καῦσαι C. – σὺν Cθ. – λινόζωστιν CD. – λινοζῶστιν vulg. – πρὸς C. – σίτοισι Cθ. — [11] τὰ Cθ. – τὰ om. vulg. – ἡμέρας J. – γέ-

et on dirigera sur les parties, pendant les règles, des vapeurs aromatiques. Puis, à jeun et sans bain, la femme s'unira à son mari.

18. (*Suppression des règles.*) Quand les règles sont supprimées, la douleur tient le bas-ventre, il semble à la femme qu'elle a un poids, elle souffre dans les lombes et dans les flancs. Si les règles se portent aux hypochondres, elles causent de la suffocation. La femme vomit souvent des matières acides, et, après le vomissement, elle se trouve mieux un peu de temps. La douleur se porte aussi à la tête et au cou. Quand elle se fait sentir avec force, on prescrit des applications chaudes; par en bas des fumigations fétides; on donne à boire le castoréum et la conyza. Si la douleur se porte en bas, on fait par en bas des fumigations fétides, et, sous les narines, des fumigations aromatiques. Les douleurs ayant cessé, on fait boire un évacuant, et ensuite du lait d'ânesse. Puis on donne une des décoctions (*de lentille ou autre*) avec lesquelles on vomit, et on applique des errhins. La mondification étant faite, ayant dirigé sur les matrices la fumigation où entre le laurier, on met le pessaire au narcisse; après une interruption de trois jours dans les fumigations, le pessaire à la cantharide; le lendemain, de la graisse d'oie; puis, après une interruption de trois jours, l'injection au vinaigre. Pendant ces purgations, la femme mangera la mercuriale avant les repas, usera d'aliments émollients, mangera des choses excitantes, et se lavera deux fois par jour à l'eau chaude. Si les règles ne paraissent pas, bien que vous ayez fait tout cela en temps utile, faites boire les cantharides; et, quand les règles sont venues, la femme, à jeun, sans bain, et après une fumigation par en bas, s'unira à son mari.

19. (*Avortement. Donner, pour l'empêcher, de l'embonpoint à la femme.*) Quand la femme ayant conçu avorte à un mois

νηται C. — [12] τὰ CKθ. – τὰ om. vulg. — [13] καὶ ἀλ. om. Cθ. – ἐπιθυμιήσασα C. – συνευνάσθω τῷ ἀνδρὶ vulg. – πρὸς τὸν ἄνδρα ἴτω C (θ, εἴτω). — [14] ἕτερον Cθ. – ἄλλο H. – ἑπταχαιδέκατον J.

[1]καὶ διμηνιαῖον, καὶ ἐκφέρειν μὴ δύνηται, καὶ λεπτὴ παρὰ φύσιν γίνηται, ταύτην χρὴ [2]καθήραντα καὶ τὰς ὑστέρας τὸ σῶμα παχῦναι· οὐ γὰρ δυνήσεται πρότερον διενέγκαι, ἔστ' ἂν [3]αὐτῆς παχεῖαι γένωνται αἱ ὑστέραι καὶ ἰσχύσωσιν.

20. [4]Ἢν δὲ παχυνθῇ παρὰ φύσιν, οὐκ ἴσχει ἐν γαστρί· τὸ γὰρ ἐπίπλοον ἐπικείμενον πουλὺ [5]καὶ παχὺ ἀποπιέζει τὰς ὑστέρας, καὶ τὴν γονὴν οὐκ εἰσδέχεται. Ταύτην χρὴ λεπτύναντα φάρμακον πῖσαι κάτω, καὶ πρὸς τὰς ὑστέρας προσθεῖναι, [6]ὅ τι καθαίρει αὐτὰς καὶ φύσας οὐκ ἐμποιεῖ.

21. [7]Ἢν δὲ τὸ στόμα τῶν ὑστερέων σκληρὸν γένηται ἢ ὁ αὐχὴν, τὸν δάκτυλον παρεισάγων, γνώσῃ, καὶ ἐπὴν πρὸς τὸ ἰσχίον ἕωσιν ἀπεστραμμέναι. Ὅταν ὧδε ἔχῃ, μηδὲν προσφέρειν [8]δεινόν· ἢν γὰρ ἐξελκώσῃς τὸ στόμα, ἐπὴν φλεγμήνῃ, κίνδυνος τὸ πάμπαν ἄτοκον γενέσθαι· ἀλλὰ προστιθέναι ἃ μὴ δάκνει, ὑφ' ὧν καθαίρεται.

22. [9]Ἢν γυναῖκα μὴ δυναμένην τεκεῖν ἐθέλῃς καθῆραι, καὶ ᾖ χολώδης ἢ φλεγματώδης, [10]γνώσῃ τῷδε ὁκότερον ἂν ᾖ μᾶλλον· ψάμμον ὑποβάλλων, ἐπὴν τὰ ἐπιμήνια γένηται, ἐν τῷ ἡλίῳ ἐπιχέας τὸ αἷμα, ἐᾷν ξηρανθῆναι· [11]καὶ ἢν μὲν χολώδης ᾖ, ἐπάνω τῆς ψάμμου ἔσται [12]τὸ αἷμα ὠχρὸν, ἢν δὲ φλεγματώδης, οἷον μύξα· καὶ δὴ ὁκότερον ἂν ἔῃ καθήρας κάτω, [13]πρὸς τὰς ὑστέρας προσθεῖναι προσθετά.

[1] Καὶ δ. om. C (DH, restit. al. manu) FGIJKθ. – γίγν. C. – δεῖ C. — [2] καθήραντα καὶ τὰς ὑστέρας πρὸς τὸ στόμα· οὐ γὰρ δύνησεται vulg. – καθήραντα τὸ στόμα παχῦναι τὰς ὑστέρας· οὐ γὰρ δυνήσεται Lind. – καθῆραι καὶ τὰς ὑστέρας τὸ σῶμα παχῦναι δυνήσεται C. – καθήραντα καὶ τὰς ὑστέρας τὸ σῶμα ἀπαλῦναι (sic)· οὐ γὰρ δυνήσεται θ. – διενέγκε (sic) θ. — [3] αὐτῇ (αὕτη θ) παχεία γένηται ἡ ὑστέρη Cθ. — [4] ἐπὴν δὲ γένηται, ἢν παχυνθῇ C. – ἐπιπλοῖον θ. – πολὺ Cθ. — [5] καὶ CJθ. – καὶ om. vulg. – ἐνδέχεται Cθ, Ald. – ἐσδέχεται Q'. – εἰσδέχονται Foes in not. – ἐνδέχονται Lind. — [6] Ante ὅ τι addit θήσειν δὲ τὰς ὑστέρας C. – καθαίρει C. – καθαρεῖται θ. – καθαίρεται vulg. – αὐτὰς om. Cθ. – φύσσας J. – οὐκ om. Cornar., Foes in not. – ἐνθήσει pro ἐμποιεῖ Cθ. — [7] ὀκτωκαιδέκατον J. – περὶ σκληριάσεως στόματος μήτρης ἢ αὐχένος σημειώσεως καὶ θεράπεια θ. – τὸ CFKθ. – τὸ om. vulg. – ὑστεραίων C. – στερεὸν γένηται καὶ ξηρὸν C. – παρεισάγων CDFGIK, Ald., Frob. – παρεισάγουσα θ. – προσάγων vulg. – γνώσεται Cθ. – ἐῶσιν Cθ. — [8] δεινὸν Cθ. – δριμὺ vulg. – ἐξελκύσῃς J. – σῶμα pro στόμα Cθ. – φλεγμήνῃ CDIJKθ, Ald., Frob., Lind. – φλεγμαίνῃ vulg. – δάκνῃ H. – καθαίρηται vulg. – καθαίρεται CDGIJKθ, Frob. — [9] ἐνναχαιδέκατον J. – εἰ pro ᾖ D. – ἢ pro ᾖ H. – ἢν pro ᾖ Jθ. – χολώδη J. – χολώδης τε ἢ C (θ, ἢ). – φλεγματώδη J. — [10] γνώσῃ δὲ τούτων ὁκότερον (ὁκότερα J), ἢν ψάμμον vulg. – γνώσῃ τῶδε ὁκότερον ἢν ἢ μᾶλλον ψάμμον C (θ, δὲ, non τῶδε) (Vaticana exempl. ap. Foes, ὧδε non

ou à deux, ne peut amener l'enfant à terme, et tombe en une maigreur qui n'est pas naturelle (Aph., v, 44), il faut, après avoir, chez elle aussi, purgé les matrices, procurer l'embonpoint; car elle ne pourra pas aller à terme si les matrices ne prennent de l'embonpoint et de la force.

20. (*Excès d'embonpoint empêchant la conception.*) Si la femme a un embonpoint exagéré, elle ne devient pas enceinte; en effet, l'épiploon abondant et épais s'applique sur les matrices, les presse (Aph., v, 46), et elles ne reçoivent pas le sperme. En ce cas, il faut atténuer la femme et lui prescrire un médicament qui évacue par le bas; on appliquera un pessaire qui mondifie les matrices sans y produire de l'air.

21. (*Dureté du col utérin. Obliquité.*) Si l'orifice utérin ou le col deviennent durs, vous reconnaîtrez cet état en introduisant le doigt, de même que la déviation de la matrice vers la hanche. Les choses étant ainsi, n'appliquez rien d'actif; car, si vous ulcérez l'orifice après inflammation, il est à craindre que la femme ne puisse plus absolument avoir d'enfant. Mais on appliquera ce qui, sans être irritant, procure la mondification.

22. (*Moyen de reconnaître si une femme est bilieuse ou pituiteuse, afin de la prédisposer à la conception.*) Si vous voulez mondifier une femme qui ne peut avoir d'enfant, voyez si elle est bilieuse ou pituiteuse. Vous reconnaîtrez laquelle des deux dispositions prédomine, à ceci : jetez du sable au soleil, versez sur ce sable du sang des règles, et laissez-le sécher; si elle est bilieuse, le sang sera jaune au-dessus du sable; si elle est pituiteuse, il y aura comme une mucosité. Cela reconnu, vous évacuerez par le bas celle des deux humeurs qui prédomine, et vous appliquerez des pessaires.

τῶδε, et ἂν non ἦν). – ὑποβαλὼν C. – ὑπ. om. θ. – ἔμμηνα Cθ. – γένηται Cθ. – γένωνται vulg. – Post ἡλίῳ addit [τῇ ψάμμῳ] Lind. – ἐᾷς Lind. — [11] καὶ om. C. – καὶ [γὰρ] ἦν Lind. — [12] τὸ αἷμα om. Cθ. – ὠχρὰ Cθ. – μύξαι D, Lind. – καὶ δὴ om. Cθ. – δεῖ pro δὴ DH. – ἦν pro ἂν Cθ. – εἴη (εἴη om. θ; ἦ C) vulg. – Ante κάτω addunt τὴν κοιλίην C (H, al. manu) θ, Vaticana exempl. ap. Foes, Lind. — [13] πρὸς Cθ, Vatic. exempl. ap. Foes. – πρὸ Lind. – περὶ vulg. – προσθεῖναι Cθ. – ἐπιθεῖναι vulg. – πρόσθετα Lind.

23. [1] Ἢν τὰ ἐπιμήνια παντάπασι μὴ γίνηται, ἢν μὲν ὑπὸ πόνου ᾖ, πρῶτον μὲν τὴν κοιλίην καθῆραι κάτω, ἔπειτα προσθεῖναι, ὑφ' οὗ αἷμα καθαίρεταί [2] ἐκ τῶν ὑστερέων· ἔπειτα διαλιπὼν ἡμέρην μίην ἢ δύο, ὑφ' οὗ αἷμα καθαίρεται προσθεῖναι· τὸν δὲ ἄλλον χρόνον [3] τὸν φλοιὸν πινέτω τοῦ κρήθμου ἐν οἴνῳ τρίψασα.

24. [4] Ἢν ὑγρότερον τοῦ καιροῦ τὸ στόμα τῶν ὑστερέων ᾖ, προστιθέναι τὰ ὁριμέα, ὅκως δηχθῇ, καὶ φλεγμῆναν σκληρὸν γένηται. Ἢν [5] δὲ σκιῤῥωθῇ, τὰ δριμέα προσφέρειν· δάκνοντα γὰρ διαχεῖ τὸν ἰχῶρα· ἔπειτα μαλθακὰ προστιθέναι· [6] ἐς δὲ τἆλλα νουσήματα ὡς ἥκιστα προστιθέναι.

25. [7] Ἢν ἐς τὸ ἰσχίον λεχοῖ καταστηρίξωσιν αἱ ὑστέραι ἢ ἐς τὸν κενεῶνα, [8] προστίθεσθαι χρὴ πρὸς τὸ ὑγιὲς ἰσχίον ἔλαιον Αἰγύπτιον λευκὸν ἢ βακκάριον, καὶ ἐπὶ τὸ ὑγιὲς ἰσχίον κατακείσθω, καὶ πινέτω γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας, καὶ ἀκτῆς καρπὸν ὅσον [9] χηραμίδα, καὶ κάστορος ὅσον κύαμον ἐν οἴνῳ· ἔπειτα λουσαμένη θυμιήσθω, καὶ τοῖσι πότοισι καὶ σιτίοισι χρήσθω μαλθακοῖσι, καὶ λινοζώστει, καὶ τοῖσι δριμέσι πᾶσι χωρὶς ῥαφάνου καὶ κρομμύων.

26. [10] Ὁκόταν πνίγωσιν αἱ ὑστέραι, ὑποθυμιῆν χρὴ τὰ κακώδεα πάντα ὑπὸ τὰς ῥῖνας, ἄσφαλτον, θεῖον, κέρας, ἐλλύχνιον, φώκης ἔλαιον, καστόριον· ὑπὸ δὲ τὰ αἰδοῖα τὰ εὐώδεα.

[1] Εἰκοστὸν J. – ἢν [δὲ] Lind. – γίγνηται C. – γένηται θ. – γίνωνται vulg. – νουη (sic) pro πόνου ᾖ C. – On pourrait ajouter παχέα après ᾖ; ce mot est donné par le passage parallèle du premier livre des Maladies des Femmes; toutefois notre texte s'entend. — [2] ἐκ.... προσθεῖναι om. (D, restit. al. manu) G (H, restit. tantum ἐκ τῶν ὑστ.). – ἡμέραν CIJK. – μίαν CIJθ. – καθαίρηται Lind. – Post καθ. addunt ἐκ τῶν ὑστερέων Vaticana exempl. ap. Foes. – προσθεῖναι ante ὑφ' IJK, Lind. – δ' Cθ. — [3] τὸν om. Ald. – κρηθμοῦ vulg. – κριθίνου DFGHIJK. — [4] εἰκοστὸν πρῶτον J. – πρὸς ὑγρότερον στόμα θ. – ὑστέρων (sic) G, Ald., Frob. – δειχθῇ θ. – σκληρὸν λίην (λίην om. θ) vulg. – γίνεται J. — [5] δὲ om. Cθ. – πρὸς κηρον (sic) in marg. θ. – σκιρωθῇ IKθ. – σκυρωθῇ G, Ald. – σκυῤῥωθῇ Frob. – σκληρωθῇ C. – τὰ δὲ δρ. C. – δάκνοντα ἃ διαχεῖ C (θ, δειάχει sic). – σκύρρον pro ἰχῶρα L. – σκίῤῥον Lind. — [6] εἰς vulg. – ἐς D, Lind. – πρὸς θ. – ἐς.... προστιθέναι om. C. – τὰ ἄλλα DHIJKθ. – νοσ. θ. – οὐχ (ὡς θ, Lind.) ἥκιστα vulg. — [7] εἰκοστὸν δεύτερον J. – ἢν δὲ τὸ vulg. – ἢν ἐς τὸ Cθ. – ἢν δ' ἐς τὸ (H, al. manu), (Lind., δέ). – λέχοι DGHIJ, Ald., Frob. – καταστηρίζουσιν DK. – καταστηρίξουσιν GI. – αἵ τε (τε om. CHθ, Lind.) vulg. – ἢ ἐς Cθ, (Lind. εἰς). – εἰς (ἐς DHK) sine ἢ vulg. — [8] προστιθέναι θ. – ἢ βακκ. om. Cθ. – καταχείσθω GIJK, Ald. – κόκκους πέντε τοὺς μέλανας Cθ. – κόκκους τ. μ. πέντε vulg. — [9] χηραμύδα GD

23. (*Absence des règles.*) Si les règles ne viennent pas absolument, dans le cas où la souffrance en est la cause, d'abord on évacuera le ventre par le bas, puis on mettra un pessaire emménagogue; ensuite, après une interruption d'un jour ou deux, un pessaire emménagogue. Le reste du temps, la malade boira l'écorce du crethmos (*crithmum maritimum*, L.) pilée dans du vin.

24. (*Orifice utérin, trop humide, trop dur.*) Si l'orifice des utérus est plus humide qu'il ne convient, on appliquera les substances âcres afin qu'elles mordent et qu'enflammant l'orifice elles le durcissent. S'il est devenu squirrheux, on appliquera les substances âcres; car, mordant, elles fondent l'humeur; puis on les remplace par les émollients. Dans les autres maladies il faut se servir aussi peu que possible des substances âcres.

25. (*Déviation de la matrice chez une nouvelle accouchée.*) Si, chez une nouvelle accouchée, les matrices se fixent vers la hanche ou vers le flanc, on appliquera sur la hanche saine de l'huile blanche d'Égypte ou de baccaris (*voy.* § 6); la femme sera couchée sur la hanche saine; elle prendra en breuvage cinq grains noirs de la pivoine, le fruit du sureau plein une conque, et du castoréum gros comme une fève dans du vin. Puis, s'étant baignée, elle recevra une fumigation aromatique; elle usera des boissons et des aliments émollients, de la mercuriale et de tous les aliments âcres, excepté les raiforts et les oignons.

26. (*Hystérie.*) Si les matrices causent de la suffocation, il faut faire, sous les narines, une fumigation avec toutes les substances fétides : asphalte, soufre, corne, mèche de lampe, huile de veau marin, castoréum; et, aux parties génitales, une fumigation aromatique.

68. (*Dyspnée hystérique; remède.*) Si la femme est prise de gêne dans la respiration, broyez gros comme une fève de soufre, autant de cardamome, de la rue, du cumin d'Éthiopie, mouillez avec du vin et donnez à boire à jeun; il faut s'abstenir d'aliments et ne pas manger souvent.

69. (*Météorisme dans l'accouchement; remède.*) Si une femme accouchant est prise de météorisme, mettez sous la cendre un foie de mouton ou de chèvre; elle le mangera chaud pendant quatre jours et boira du vin vieux.

70. (*Douleur dans les lombes; remède.*) Si elle souffre dans les lombes, elle boira de l'anis et du cumin d'Éthiopie, se lavera à l'eau chaude et boira après le bain.

δοῦναι πίνειν D. – νῆστι C. – νήστιδι θ. – δεῖ δὲ om. Cθ. – ἐσθιέτω C. — [9] πρὸς τὴν ἐν τῷ τόκῳ ἐνπνευματουμένην in marg. θ. – ἐγκαύσας C. – τέσσερες (sic) θ. – καὶ οἶνον ζωρότερον πινέτω παλαιὸν Lind. – Foes recommande en effet de rapporter ζωρότερον à οἶνον. — [10] ἄννησον vulg. – ἄννησσον θ. – ἄνισον CDJ. – ἄνησον K. – καὶ θερμῷ λ., κ. ἀ. θ. π. om. G. – λούσθω θ. – ἀπόθερμον vulg. – ἀπὸ θερμοῦ DFHIJK. – ἀπὸ θερμῶν Cθ.

71. Ἂν τὰ [1]ἐπιμήνια μὴ γίνηται, ὄστρακον παχὺ καταχαύσας, καὶ λεῖον τρίψας, καὶ ὀρίγανον ἑψήσας, ἐν χηνὸς ἐλαίῳ λεῖον ποιήσας, καὶ ξυμμίξας τῷ ὀστράκῳ, ἐν ὀθονίῳ χλιερὸν προστιθέσθω.

72. Ἂν [2]ξυμμύσωσιν αἱ μῆτραι καὶ τὰ ἐπιμήνια μὴ φαίνηται, κολοκυνθίδα ἀγρίην, καὶ φύλλον, κύμινον Αἰθιοπικὸν, νίτρον, ἅλας θηβαϊκὸν, καὶ νεφρίδιον, καὶ ἄλευρον, καὶ σμύρναν, καὶ ῥητίνην, ἅπαντα ζέσας ταῦτα, ὁμοῦ τε μίξας λεῖα, ποιέων βάλανον, προστιθέσθω.

73. Ἂν πρὸς τὰ σπλάγχνα τραπεῖσαι [3]πνίγωσιν, οἶνον κέδρινον καὶ κύμινον Αἰθιοπικὸν πινέτω, καὶ θερμῷ λουέσθω, καὶ ἀπὸ θερμῶν πινέτω.

74. Ἂν τὰ ἐπιμήνια μὴ [4]γίνηται, χηνὸς ἔλαιον καὶ νέτωπον καὶ ῥητίνην ξυμμίσγουσα ἡ γυνὴ προσθέσθω, εἰρίῳ ἀνασπογγίζουσα. [5]Ἂν δὲ μᾶλλον τοῦ προσήκοντος φαίνηται, σούσινον καὶ βάτου γλῶσσαν ἐν εἰρίῳ προστιθέσθω.

75. [6]Ἂν μετακινηθεῖσαι προσπέσωσί που αἱ ὑστέραι, κριθὰς πτίσας λείας ξὺν τοῖς ἀχύροις, καὶ πρόμαλον, καὶ ἐλάφου κέρας, οἴνῳ δεύσας, ὑποθυμιᾷν τὰς ὑστέρας.

76. Ἂν [7]τὰ ὕστερα μὴ δύνηται ἀποφυγεῖν, μαράθρου ἐν οἴνῳ καὶ ἐλαίῳ καὶ μέλιτι ἀναζέσαντα δοῦναι πιεῖν.

77. Ἂν τὰ ἐπιμήνια μὴ φαίνηται καὶ βούλῃ [8]αὐτὰ κατασπᾶν, πυρῶν κρίμνα καὶ γέλγιδας ἑψεῖν, ἔλαιον ἐπιχέαντα, εἶτα διδόναι ἐσθίειν.

[1] Ἐμμήνια C. – μὴ C, Lind. – μὴ om. vulg. – καύσας D. – λίον (bis) θ. – ποιήσας C. – ποιῆσαι vulg. – καὶ om. C. – συμμ. Cθ. – χλιαρὸν vulg. – χλιερὸν θ. – χλιηρὸν D. – χλιερῶ C. — [2] συμμύωσιν C. – συμμύσωσιν θ. – αἱ μ. om. Cθ. – κολοκυνθίδα C. – κολοκυντίδα vulg. – ἀγρίαν C. – φύλλον om. J. – κύμινον om. Cθ. – καὶ νίτρον καὶ ἅλα Cθ. – θηβαϊκὸν vulg. – θυβαικὸν C. – θηβαϊκὸν DGIJ, Ald., Frob., Lind. – νέβρην vulg. – νέβριν θ. – ἄπεβριν (sic) C. – νεφρίδιον interpretes ex libro II de Morb. Mul., Lind. – ἅπαντα om. Cθ. – Ante ὁμοῦ addit ἅπαντα θ. – τε om. Cθ. – λία θ. – λείαν καὶ ποιοῦσα C. – ποιῶν vulg. – ποιέων θ. – προστίθεσθαι J. — [3] πνιγῶσιν Cθ. – οἶνον om. θ. – κίμινον C. – ἀπόθερμον vulg. – ἀπὸ θερμῶν Cθ. — [4] γίγν. C. – γέν. θ. – συμμ. Cθ. – ἡ γ. om. Cθ. – προστιθέσθω C. – εἰρίῳ.... προστιθέσθω om. J. – ἀνασπογγίσουσα C. — [5] εἰ C. – καθεστηκότος Cθ. – φαίνηται θ. – ἐμφαίνεται C. – ἔρχωνται vulg. — [6] πρὸς τὰς μετακινήσεις τῆς μήτρης in marg. θ. – μετακινηθῆναι θ. – προσπεσίπου (sic) H. – πτίσαι C. – λείας om. θ. – σὺν CJθ. – ἀχύροις πρόσβαλλε (πρόβαλε K; καὶ πρόμαλον C; καὶ πρόβαλον θ; πρόσ-

71. (*Règles ne venant pas ; remède.*) Si les règles ne viennent pas, faites brûler un têt épais, pilez-le, faites cuire de l'origan, broyez-le dans de la graisse d'oie, mêlez avec le têt, mettez dans un linge et appliquez chaud en pessaire.

72. (*Matrice fermée et règles ne venant pas ; remède.*) Si les matrices sont fermées et que les règles ne paraissent pas, prenez : coloquinte sauvage, graine de silphium, cumin d'Éthiopie, nitre, sel thébaïque, graisse des reins, farine, myrrhe, résine ; faites tout cuire ensemble, broyez et mettez en pessaire.

73. (*Hystérie ; remède.*) Si les matrices, tournées vers les viscères, suffoquent, la femme boira du vin de cédros (*juniperus oxycedrus*) et du cumin d'Éthiopie ; elle se lavera à l'eau chaude et boira après ce bain.

74. (*Absence ou excès des règles ; remède.*) Si les règles ne viennent pas, mêlant de la graisse d'oie, du nétopon (*huile d'amandes*) et de la résine, et épongeant avec de la laine, la femme mettra cette laine en pessaire. Si elles sont plus abondantes qu'il ne faut, appliquez de l'huile de lis et la langue de la raie épineuse en pessaire sur de la laine.

75. (*Hystérie ; remède.*) Si, déplacées, les matrices se portent quelque part, pilez de l'orge avec la paille, du promalon (*tamarix* ou *vitex*), de la corne de cerf, mouillez avec du vin et faites une fumigation à la matrice.

76. (*Arrière-faix ne sortant pas ; remède.*) Si les secondines ne peuvent pas sortir, faites bouillir du fenouil dans du vin, de l'huile et du miel, et donnez à boire.

77. (*Emménagogue.*) Si les règles ne paraissent pas, et que vous vouliez les amener, faites cuire du gruau de blé et des gousses d'ail, versez de l'huile, puis donnez à manger.

βαλλε καὶ πρόμαλον Vaticana exempl. ap. Foes) vulg. – ὑποθυμίη FGHK. – τὰς ὕστ. om. Cθ. — [7] τὰ ὕστερα Cθ, Lind. – τὰ ὕστ. om. vulg. – δύνωνται C. – ἀποφεύγειν C. – μαράθου CGHIJK, Ald. – Ante ἐν addit ῥίζαν C. — [8] αὐτὰ om. Cθ. – πυρρῶν GHIK. – γέλγιθας θ. – κριθὰς pro γ. vulg. – ἕψειν C. – ἐπι χέοντας C. – ἔπειτεν C. – ἔπειτα θ.

78. Ἢν φλεγμήνωσιν αἱ μῆτραι, [1] κοτυληδόνος φύλλα καὶ πράσα κρίμνοις ἑνεψῶν πυρίνοις, ἔλαιον ἐπιχέων, δίδου ἐσθίειν.

79. Ἢν κινηθεῖσαί που προσπέσωσι καὶ ὀδύνην παρέχωσιν, ἐλαίης ψώρην, [2] ὀάφνης καὶ κυπαρίσσου πρίσματα ἑψήσας ἐν ὕδατι, ἐς ὀθόνιον ἐμβαλὼν, προστίθει.

80. Ἢν [3] ὑστέρας ἀλγέῃ καὶ πρὸς τὴν κύστιν ᾖ ἡ ὀδύνη, πράσου καρπὸν τρίψας ἐν ὕδατι, πιεῖν διδόναι νήστιδι, καὶ χλιάσματα προστιθέναι.

81. Ἢν αἱ μῆτραι [4] ἐξέχωσι, περινίψας αὐτὰς ὕδατι χλιερῷ καὶ ἀλείψας ἐλαίῳ καὶ οἴνῳ, πάλιν ἐνθεῖναι, καὶ ἀναδῆσαι ἐκ τῶν ἰξύων, [5] καὶ ὑποθυμιῆν τὰ κακώδεα, καὶ ἢν μὴ δύνηται οὐρέειν, λούσας θερμῷ καὶ πυριήσας, [6] ὑποθυμιήσας κυπαρίσσου πρίσματα, τῶν οὐρητικῶν ποτημάτων διδόναι πίνειν.

82. [7] Ἢν ῥόος γένηται, ὑποθυμιήσας στρυφνοῖσιν, ὀνίδα περιξέσας, ἐνδήσας εἰρίῳ, προστίθει· ἡ δὲ ὀνὶς ἔστω ξηρή.

83. Ἢν ἐν [8] τοῖσιν αἰδοίοισιν ἕλκεα γένηται, βόειον στέαρ ἀπαλείφειν καὶ προστιθέναι, καὶ τῆς μυρσίνης ἐν οἴνῳ ἀφεψῶν διακλύσαι.

84. Ἢν ἐκ τόκου [9] τὸ στόμα ἑλκωθῇ, ῥόδων ἄνθος τρίψας λεῖον, οἴνῳ δεύσας, ἐν λαγωῇσι θριξὶ προστιθέναι, καὶ διακλυζέσθω τοῖσι στρυφνοῖσι.

85. Ἢν τὰς ὑστέρας ἀλγέῃ, [10] σχοροδῶν μώλυζαν [11] καὶ νίτρον

[1] Κοτυληδόνας FHIJ. – καὶ πράσα κρ. om. θ. – ἐν κρ. CDHIJK. – κρίμνοις om. FG, Ald. – ἕψων C. – ἑψῶν DHIJKθ. – πυρρίνοις GHIK. – πιεῖν pro ἐσθίειν C, Vaticana exempl. ap. Foes. – A partir d'ici le ms. θ est gâté, et il n'a plus été possible que d'y lire des mots détachés. — [2] καὶ (καὶ om. C) δάφνης vulg. – εἰς D. — [3] ὑστέρα vulg. – ὑστέρας C. – ᾖ om. Cθ. – ἡ DJ. – ἢ om. vulg. – δοῦναι πιεῖν νῆστι δὲ χλ. προστίθει C. – δοῦναι πιεῖν θ. — [4] προσέχωσι vulg. – προέχωσι J. – ἐξίωσι Lind. – ἐξέχωσι Cθ, Vaticana exempl. ap. Foes. – ἐν (ἐν om. Cθ) ὕδατι vulg. – χλιαρῷ vulg. – χλιαιρῷ CHI. – χλιηρῷ D. – χλιερῷ θ. – ἀναδεῖσαι Ald. – ἀναδέσαι Lind. – Ante ἐκ addit καὶ C. — [5] καὶ om. C. — [6] καὶ ὑποθ. Lind. – καὶ (καὶ om. θ, Lind.) τῶν vulg. – ποτιμάτων G. – δίδου Cθ. — [7] καὶ ἢν C. – ῥοὺς C. – ἐγγένηται Cθ. – στρυφνοῖς C. – στριφνοῖσιν θ. – περιζέσας CK. – ἔριον C. — [8] τοῖς αἰδοίοις Cθ. – ἐγγένηται Cθ. – βόϊον θ. – σμύρνης pro μυρσ. C. – ἀφέψων C. – Ante διακ. addit τῷ οἴνῳ C. — [9] τὸ om. D. – πρὸς τὴν ἐκ τόκου ἕλκωσιν τοῦ στομίου in marg. θ. – ῥόδον Ald. – οἴνῳ δ. om. K. – ἐν om. D. – λαγωῇσι CJKθ, Lind. – λαγωοῖσι vulg. – στρυφνοῖς C. – στριφνοῖσιν θ. — [10] σκόρδων C. – μόλυζα C. – μόλυζαν DGHIJK,

78. (*Métrite; remède.*) Si les matrices sont enflammées, faites cuire les feuilles du cotylédon (*cotyledon umbilicus*) et les porreaux dans du gruau de blé, versez de l'huile et faites manger.

79. (*Mouvement de la matrice; remède.*) Si, ayant été mues, les matrices se portent quelque part et causent de la douleur, prenez gale d'olivier, laurier, sciure de cyprès, faites cuire dans de l'eau, mettez dans un linge et appliquez en pessaire.

80. (*Douleur utérine vers la vessie; remède.*) Si la femme souffre de la matrice, et que la douleur soit vers la vessie, pilez dans l'eau la graine de porreau et donnez à boire à jeun; faites aussi des applications chaudes.

81. (*Procidence de la matrice; réduction; remède.*) Si les matrices sortent, lavez-les à l'eau chaude, oignez-les avec de l'huile et du vin, et faites la réduction; puis maintenez par un bandage prenant attache aux lombes, et faites des fumigations fétides; si la femme ne peut uriner, lavez à l'eau chaude, donnez un bain de vapeur, administrez une fumigation avec la sciure de cyprès, et prescrivez des boissons diurétiques.

82. (*Flux; remède.*) S'il y a flux, donnez une fumigation avec les astringents, raclez du crotin d'âne, liez dans de la laine et appliquez en pessaire; le crotin doit être sec.

83. (*Ulcérations aux parties génitales; remède.*) S'il se forme des ulcérations dans les parties génitales, oignez avec la graisse de bœuf, et mettez-la en pessaire; la femme se lavera avec une décoction de myrte dans du vin.

84. (*Orifice utérin ulcéré à la suite de l'accouchement; remède.*) Si, à la suite de l'accouchement, l'orifice est ulcéré, broyez des feuilles de rose, mouillez avec du vin et appliquez dans du poil de lièvre; lotions des parties génitales avec les astringents.

85. (*Douleur de matrice; remède.*) S'il y a douleur aux matrices, prenez une gousse d'ail, du nitre grillé et du cumin,

Ald., Frob. — [11] καὶ om. C. – κύμινα διαποποιήσας (sic) C. – δεύσας CJ. – ἀπόθερμον vulg. – ἀπὸ θερμῶν Cθ.

ὀπτὸν καὶ κύμινον λεῖα ποιήσας, μέλιτι δεύων, προστίθει, καὶ τῷ θερμῷ λουέσθω, καὶ ἀπὸ θερμῶν πινέτω.

86. Ἢν [1]ἀφθήσῃ τὰ αἰδοῖα, στέαρ βοὸς καὶ βούτυρον καὶ χηνὸς ἔλαιον καὶ σούσινον μίξας, διαχρίειν τὰ αἰδοῖα τουτέοισι, καὶ διακλυζέσθω ὕδατι χλιερῷ.

87. Ἢν προσιστάμεναι πνίγωσιν, [2]ἐλλύχνιον ἀνάψας, ἀποσβέσας, ὑπίσχειν ὑπὸ τὴν ῥῖνα, ὅκως ἂν τὸν καπνὸν ἕλκῃ, ἔπειτα σμύρναν διεὶς μύρῳ, [3]ἔριον ἀναδεύσας, προστίθει· καὶ πιεῖν δοῦναι ῥητίνην ἐλαίῳ διέντα.

88. Ἢν τὸ [4]χορίον μὴ ὑποχωρέῃ, κόνυζαν τρίψας, ἐν εἰρίῳ ποιήσας πρόσθεμα, προστιθέναι, καὶ τῇ ἴγδῃ οἴνῳ διατρίψας, δοῦναι πιεῖν.

89. Ἢν τὴν κεφαλὴν ἀλγέῃ καὶ τὴν [5]νείαιραν γαστέρα καὶ τὰς ἰξύας, χολὴ ἐν τῇσι μήτρῃσιν ἐστί· ταύτῃ χρὴ δοῦναι φάρμακον, ὃ καθαίρειν ἄνω τε καὶ κάτω δύναται, καὶ λούειν θερμῷ, καὶ προστιθέναι ὅσα χολὴν καθαίρει, καὶ ἄνισον καὶ μελάνθιον διεὶς οἴνῳ δίδου πιεῖν.

90. Ἢν [6]ῥόος ἐγγένηται, καρκίνους ποταμίους ἀποπνίξας ἐν οἴνῳ, τὸν οἶνον διδόναι πίνειν, καὶ ὑποθυμιῇν ὅσα ξηραίνει καὶ προστιθέναι. Ἢν ῥοῦς ἐγγένηται, τῶν πράσων ὅσον δεσμίδα τρίψας ἐν οἴνῳ, δίδου [7]πίνειν, καὶ τοῖσι ξηροῖσι καὶ τοῖσι στρυφνοῖσι χρήσθω. Ἢν ῥοῦς ἐγγένηται, [8]ἡμιονίδα καταχαύσας, καὶ κόψας λείην, διασήσας τε, διεὶς οἴνῳ, πίπισκε· τοῖσι δὲ ἄλλοισι τὸν αὐτὸν

[1] Ἀφθ. JK. – ἀφθίσῃ C. – χρείειν C. – τούτοις C. – τουτέοις θ. – τουτέῃσι (sic) K. – χλιαρῷ ὕδατι vulg. – ὕδατι χλιερῷ C. — [2] ἐλύχ. I, Ald. – χλιήνας (addunt καὶ Cθ) ἀποσβ. vulg. – ἀποσβέσας χλιήνας DGHIJK. – ἀνάψας καὶ ἀποσβέσας Lind. – ἀνάψας est la vraie leçon; voy. le livre II des Mal. des Femmes. – ἴσχειν C. – ὑπὸ ἴσχειν θ. – ὅπως C. – ἔπειτεν C. – τὴν σμύρναν C. — [3] εἰρίῳ vulg. – ἰρίνῳ Lind. – ἔριον Cθ. – προστ. om. J. – δοῦναι Cθ. – δίδου vulg. — [4] χωρίον vulg. – χόρειον C. – χορίον Kθ, Lind. – χόριον J. – ὑποχωρῇ C. – κόρυζαν C. – ἐρίῳ C. – καὶ (addit εἰς Lind.) τὴν ἴγνυν (ἴγδην C, Vaticana exempl. ap. Foes, Lind.) vulg. – Je lis τῇ ἴγδῃ. – τρίψας C. – πιεῖν δίδου; C. — [5] νειαίραν C. – νείεραν H. – νιαιρὰν θ. – νειαιρὴν Lind. – Post γαστ. addit ὀδύνη ἴσχει C. – Ante ἐν addit ταύτησιν C. – γοῦν (γοῦν om. Cθ) χρὴ vulg. – ὃ om. C. – καθαίρει Cθ. – καὶ ἄνω καὶ κάτω C. – τε om. D. – δύναται om. θ. – τῷ θερμῷ θ. – ἄννησσον θ. – ἄννησον vulg. – ἄνησον K, Frob. – ἄνισον CDHJ. — [6] ῥοὺς C. – πιεῖν διδόναι Cθ. – πιεῖν DH. — [7] πιεῖν C. – τοῖς ξηροῖς C. – στριφνοῖσι C. — [8] ἡμιόνου ὀνίδα C, Vaticana exempl. ap. Foes,

broyez, humectez avec du miel et appliquez en pessaire; la femme prendra un bain chaud et boira après le bain.

86. (*Aphthes aux parties génitales; remède.*) Si les parties génitales sont aphtheuses, mêlez de la graisse de bœuf, du beurre, de la graisse d'oie et de l'huile de lis; les parties génitales seront frottées avec ce mélange; lotions des parties génitales à l'eau chaude.

87. (*Hystérie; remède.*) Si les matrices, se transportant, causent de la suffocation, allumez une mèche de lampe, éteignez-la et tenez-la sous les narines, afin que la femme en attire la fumée; puis délayez de la myrrhe dans du parfum, trempez de la laine là-dedans et appliquez en pessaire; vous donnerez à boire de la résine dissoute dans l'huile.

88. (*Le chorion ne sortant pas; remède.*) Si le chorion ne sort pas, pilez de la conyza (*erigeron viscosum*), faites-en un pessaire avec la laine et appliquez; pilez aussi la conyza dans un mortier avec du vin et donnez à boire.

89. (*Douleurs diverses provenant de l'utérus; remède.*) Si la femme souffre à la tête, au bas-ventre et aux lombes, il y a de la bile dans les matrices. En ce cas, on donnera un médicament qui puisse évacuer par haut et par bas, on lavera à l'eau chaude, on mettra en pessaire ce qui purge la bile, et, trempant de l'anis et du mélanthium (*la nielle*) dans du vin, on fera boire.

90. (*Flux; différents remèdes.*) Si un flux survient, étouffez dans du vin des écrevisses de rivière, donnez à boire le vin; administrez en fumigation et en pessaire ce qui dessèche. Si un flux survient, pilez une poignée de porreaux dans du vin, faites boire; employez les substances siccatives et astringentes. Si un flux survient, prenez du crotin de mulet, calcinez, pulvérisez, tamisez, trempez dans du vin et faites boire; employez le reste de la même façon. Si un flux survient et a duré déjà du temps,

Lind. – ἡμιονείου ὀνίδα θ. – καταχλύσας C. – διασείσας Jθ. – τε om. C. – ἐν οἴνῳ πίπισκε, τοῖς δὲ ἄλλοις C. – πιπισκέτω vulg. – χρῶ Cθ, Lind. – χρῶτο vulg. – χρώτω (sic) GHIJK, Frob.

τρόπον χρῶ. Ἢν ῥοῦς ἐγγένηται, καὶ πολυχρόνιος [1]ἤδη ᾖ, σπόγγον καταχαύσας καὶ τρίψας λεῖον, οἴνῳ διεὶς εὐώδει, πῖσον, καὶ ὑποθυμιήσας ξήραινε, καὶ προστίθει ὅ τι ἂν ἀποστύφῃ.

91. Ἢν [2]καθῆραι τὰς ὑστέρας βούλῃ, νίτρον, κύμινον, σκόροδον, καὶ σῦκα λεῖα ποιήσας, μέλιτι δεύσας, προστίθει, καὶ θερμῷ λουέσθω, καὶ ἀπὸ θερμοῦ πινέτω.

92. Ἢν ἀλγέῃ τὰς ὑστέρας, κυκλαμίνου τὴν ῥίζαν ἐν οἴνῳ λευκῷ πιπίσκειν [3]νῆστιν, καὶ θερμῷ λουέσθω, καὶ [4]ἀπὸ θερμοῦ πινέτω.

93. Ἢν γάλα ἀποσβεσθῇ, [5]τὰ μὲν ἄλλα τὸν αὐτὸν τρόπον θεράπευε· πιπίσκειν δὲ τὸν καρπὸν τοῦ μαράθου, καὶ τὰς κριθὰς ἐπτισμένας, καὶ βούτυρον, ἑψήσας ὁμοῦ· ὁκόταν δὲ ἑφθὰ ᾖ, ψύξας δὸς πιεῖν· ἀγαθὸν δὲ καὶ τὸ ἱππομάραθρον καὶ τὸ ἱπποσέλινον συνεψόμενα. Ἢν γάλα ἀποσβεσθῇ, πράσα τρίψας, διεὶς ὕδατι, δοῦναι πιεῖν, καὶ θερμῷ λουέσθω· καὶ τῶν πράσων καὶ τῶν [6]κραμβῶν ἐσθιέτω, συνεψοῦσα τοῦ κυτίσου τὰ φύλλα, καὶ τὸν χυλὸν ῥοφείτω. Ἢν γάλα ἀποσβεσθῇ, [7]πράσα τρίψας, διεὶς ὕδατι, δοῦναι πιεῖν, καὶ θερμῷ λουέσθω· τὸν ἐλελίσφακον [8]ἑψοῦσα, καὶ τῶν κεδρίδων ἢ τῶν ἀρκευθίδων παρεμβάλλουσα, [9]ἀποχέουσα τὸν χυμὸν καὶ οἶνον ἐπιχέουσα, πινέτω· ἐς τὰ λοιπὰ ἄλευρον [10]ἐμβάλλουσα καὶ βόλβον, καὶ ἐλαίου μικρὸν ἐπιχέουσα, ἐσθιέτω· καὶ τῶν δριμέων καὶ ὀξέων καὶ ἁλμυρῶν καὶ ὠμῶν λαχάνων πάντων ἀπεχέσθω· τὸ δὲ [11]κάρδαμον ἐν

[1] Ἤδη τις ᾖ C. – σῆνον vulg. – ὄνειον C, Vaticana exempl. ap. Foes. – σπόγγον Cornar. et Foes ex libro II de Morb. Mul., Lind. – λίον θ – ὃ ξηραίνει C. – καὶ ὅσα ὑποστύφει pro ὅ τι ἂν ἀπ. C. — [2] καθάραι θ. – βούλει CH. – λίτρον J. – κύανον pro κύμινον θ. – καὶ σκόρδον C. – λία θ. – ὑπόθερμον vulg. – ἀπόθερμον DFGHIJK, Vaticana exempl. ap. Foes, Ald. – ἀπὸ θερμοῦ C. – ἀπὸ θερμῶν θ. — [3] νήστει vulg. – νήστι C. – νῆστιν θ. – θερμὸν FGJ. – τῷ θερμῷ C. — [4] ὑπόθερμον vulg. – ἀπόθερμον DFGHIJK, Ald., Lind. – ἀπὸ θερμοῦ C. – ἀπὸ θερμῶν θ. — [5] τὰ.... ἀποσβεσθῇ om. C. – δὲ δίδου (δίδου om. θ, Lind.) τὸν vulg. – τοῦ μ. τὸν καρπὸν DH (IK, μαράθου; θ, βαράθου). – μαράθου GJ, Ald. – κριθὰς ἐπτισμένας Cornar. et Foes ex libro I de Morb. Mul., Lind. – ῥίζας ἑπτημένας (ὠπτημένας J; ἐπισμένας; sic θ) vulg. – δὲ om. θ. – ἱππομάραθον GJK. – ὑπομάραθον θ. – συνεψόμενον θ. — [6] κράμβων (sic) Ald., Frob. – συνέψουσα C. – κυτήσσου C. – κυτίσσου K. – ῥοφεέτω Lind. — [7] πράσα.... λουέσθω om. (D, restit. al. manu) IJK. – Pro πράσα.... λουέσθω habet τὰ μὲν ἄλλα τὸν αὐτὸν τρόπον θεραπεύειν· ἐπιπίσκειν (sic) δὲ τοῦ μαράθου καὶ τὸν καρπὸν καὶ τὰς ῥίζας ἑπτισμένας καὶ βούτυρον ἑψήσας ὄνου ὅταν ἑφθὰ ᾖ ψύξας δὸς πιεῖν· ἀγαθὸν δὲ καὶ τὸ ἱππομάραθον καὶ τὸ ἱπ-

brûlez une éponge, broyez, trempez dans un vin odorant et faites boire ; administrez en fumigation ce qui dessèche, et en pessaire ce qui resserre.

91. (*Moyen de purger la matrice.*) Si vous voulez purger les matrices, prenez nitre, cumin, ail et figues, broyez, mouillez avec du miel, et appliquez en pessaire; la femme se lavera à l'eau chaude, et boira après le bain.

92. (*Douleurs utérines; remède.*) Si la femme souffre dans la matrice, faites boire la racine de cyclamen dans du vin blanc, à jeun; la femme se lavera à l'eau chaude, et boira après le bain.

93. (*Différentes recettes pour rappeler le lait.*) Si le lait s'éteint, traitez du reste de la même façon, mais faites cuire ensemble de la graine de fenouil, de l'orge décortiquée et du beurre; quand cela est cuit, laissez refroidir et donnez à boire. L'hippomarathron (*cachrys Morissonii*, Vahl., d'après Fraas) et l'hipposélinon (*smyrnium olusatrum*, L.), cuits ensemble, sont encore bons. Si le lait s'éteint, pilez des porreaux, mouillez avec de l'eau, et faites boire; la femme se lavera à l'eau chaude; elle mangera du porreau et du chou où des feuilles de cytise auront cuit, et elle en boira l'eau. Si le lait s'éteint, pilez des porreaux, mouillez avec de l'eau, et faites boire; la femme se lavera à l'eau chaude; elle fera cuire de la sauge, ajoutera des baies de cédros (*juniperus oxycedrus*), ou d'arkeuthos (*juniperus phœnicea*), transvasera, ajoutera du vin, et boira; pour ce qui reste, elle y mettra de la farine, du bulbe (*muscari comosum*) et un peu d'huile, et elle le mangera; elle s'abstiendra de tout ce qui est âcre, acide, salé, et des légumes crus : le cardame (*crucaria alappica*) pris dans du vin est bon, car il pro-

ποσέλινον συνεψόμενον, ἢν γάλα ἀποσβεσθῇ C. — [8] ἕψουσα C. – κεδρίδων CKθ. – κεδρίνων vulg. – κεδρίων Lind. – καὶ pro ἢ C. — [9] ἀπογ.... παρεμβάλλουσα om. C. – ἀποχέασα θ. – ἐπιχέασα θ. — [10] ἐμβάλουσα (sic) H. – ἐμβαλοῦσα θ. – φόλβον θ. – φλοιὸν C. – μίκκον pro μικρὸν C. – ἐπιχέασα HIKθ. – καὶ τῶν (τῶν om. C) ὀξέων vulg. – καὶ [τῶν] ἅλμ. Lind. – ἀπέχεσθαι Cθ. — [11] καρδάμωμον C. – καὶ γὰρ (γὰρ om. C) τὸ vulg. – καὶ τῷ θερμῷ Cθ. – ἀπόθερμον vulg. – ἀπὸ θερμοῦ C. – ἀπὸ θερμῶν θ.

οἴνῳ πινόμενον ἀγαθὸν, καὶ τὸ γάλα καθαίρει· καὶ θερμῷ λουέσθω, καὶ ἀπὸ θερμοῦ πινέτω.

94. Ἢν [1]βούλῃ γυναῖκα κυῆσαι, κάθηρον αὐτὴν καὶ τὰς μήτρας· ἔπειτα δίδου τὸ ἄλητον ἐσθίειν νήστει, καὶ οἶνον ἐπιπίνειν ἄκρητον, καὶ προστιθέναι νίτρον ἐρυθρὸν, [2]κύμινον καὶ ῥητίνην μέλιτι δεύσας ἐν ὀθονίῳ πρόσθες, καὶ ὁκόταν τὸ ὕδωρ ἀπορρυῇ, τοὺς μέλανας πεσσοὺς προστιθέσθω μαλθακτήριον, καὶ τῷ ἀνδρὶ ξυνευνάτω. Ἢν [3]βούλῃ ἔγκυον ποιῆσαι γυναῖκα, καθήρας αὐτὴν καὶ τὰς μήτρας, προστιθέναι τῇσι μήτρῃσι ῥάκος καταξηράνας ὡς λεπτότατον, [4]καὶ μέλιτι δεύσας, [5]καὶ βαλάνους ποιήσας, ἀποβάπτων ἐς ὀπὸν συκῆς προστιθέναι, μέχρις ἂν ἀναστομωθῇ· ἔπειτα δὲ μᾶλλον ἐσωθέειν· ἐπειδὰν δὲ ἀπορρυῇ τὸ ὕδωρ, διανιζομένη οἴνῳ καὶ ἐλαίῳ, [6]συνευδέτω τῷ ἀνδρί· πινέτω δὲ καὶ, ὁκόταν μέλλῃ καθεύδειν, βλήχωνα ἐπὶ κεδρίνῳ οἴνῳ.

95. Ἐκβόλιον [7]ἐμβρύου καὶ ὑστέρων· σικύου ἀγρίου τὸν ὀπὸν, ὅσον πόσιν, ἐς μᾶζαν ἐμπάσασαν προσθεῖναι, προνηστεύσασαν ἐπὶ δύο ἡμέρας. Σταφίδος ἀγρίης ὅσον δύο [8]δραχμίδας διεὶς μελικρήτῳ δοῦναι πιεῖν.

96. [9]Πειρητήριον· μώλυζαν σκορόδου ἀποξύσας, προσθεῖναι πρὸς τὰς μήτρας· τῇ δ' ὑστεραίῃ τὸν δάκτυλον ἐσαφάσας σκόπει· [10]καὶ ἢν

[1] Βούλει H. – κάθησον C. – κάθαρον J. – ἄλητον Cornar. ex libro I de Morb. Mul., Lind. – ἄνιθον HJ. – ἄννηθον GI. – ἄνηθον vulg. – νήστι Cθ. – καὶ τὸν οἶνον θ. — [2] Ante κ. addunt καὶ CH (Lind., ἢ). – προστιθέσθω C. – ὅταν C. – πεσοὺς C. – ξυνευνούτω vulg. – συνέστω Cθ. – ξυνευνάσθω HJ. – ξυνευνάτω DFGIK. — [3] βούλει H. – ἔγγυον CGJ, Ald. – γυν. om. C. – αὐτὰς pro αὐτὴν C. – τῇσι μ. om. C. – λεπτότατα J. — [4] καὶ om. C. — [5] καὶ om. C. – ποιῶν βαλανοῦς (sic) C. – ἔσοπον (sic) C. – σικύης C. – προστίθει HJK. – μέχρις ἂν στομωθῇ vulg. – μέχρι ἀναστομωθῇ C. – μέχρις ἂν ἀναστομωθῇ Vaticana exempl. ap. Foes, Lind. – δὴ C. – δεῖ pro δὲ θ. – ἐσωθέειν CD. – εἰσωθεῖν vulg. — [6] συνευνέτω DFGHIK. – συνευναζέτω J. – καὶ πίνειν ὅταν C. – καὶ πινέτω ὁκόταν θ. – γλίχωνα CHJ. – γλήχωνα Lind. — [7] ἐμβρύου.... ἡμέρας om. Cθ. – ὑστέρων Foes ex libro I de Morb. Mul. – ὑστερέων Lind. – μητρέων vulg. – A partir d'ici la fin manque dans le ms. θ. – ἐμπλάσασα Lind. — [8] δραχμὰς C. – ἐν (ἐν om. C) μελ. vulg. – Post μελ. addit ἐκβόλιον σικύου ἀγρίου τὸν ὀπὸν ὅσον πόσιν ἐν μάζῃ ἐμπλάσας ἐνθεῖναι προνηστεύσασαν ἐπὶ δύο ἡμέρας C. – δοῦναι πιεῖν om. C. — [9] π. om. G. – μόλυ σκόρδον C. – μόλυζαν GHIJ, Ald., Frob. – ἀποξύσας Cornar. et Foes ex libro de Steril., Lind. – ἀποζέσας vulg. – προσθῆναι C. – δάκτυλον διεῖσα καὶ ἐσαφάσσουσα σκοπείτω vulg. – δάκτυλον ἐσαφάσας σκόπει C. – En comparant

voque le lait; elle se lavera à l'eau chaude et boira après le bain.

94. (*Moyens pour qu'une femme devienne enceinte. Un de ces moyens est d'ouvrir l'orifice utérin à l'aide d'un pessaire approprié.*) Si vous voulez qu'une femme devienne enceinte, purgez-la, elle et les matrices; puis donnez de la farine à manger à jeun, du vin pur à boire par-dessus; puis prenez nitre rouge, cumin et résine, mouillez avec du miel, mettez dans un linge, et appliquez en pessaire; et, quand de l'eau coule, appliquez les pessaires noirs, qui sont émollients; puis la femme dormira avec son mari. Si vous voulez qu'une femme devienne enceinte, purgez-la, elle et les matrices : ayez du linge très-fin et bien sec, mouillez-le de miel, faites-en des pessaires, trempez-les dans du suc de figuier, et appliquez-les jusqu'à ce que l'orifice utérin s'ouvre; alors poussez-les plus avant; quand de l'eau coule, la femme fera des lotions avec du vin et de l'huile, et dormira avec son mari; elle boira aussi, au moment de se coucher, du pouliot dans du vin de cédros (*juniperus oxycedrus*).

95. (*Moyens pour expulser le fœtus et le chorion.*) Moyen pour expulser le fœtus et les secondines : prenez la valeur d'une potion de suc de concombre sauvage (*momordica elaterium*), pétrissez dans de la polenta, et appliquez en pessaire, après une abstinence de deux jours. Prenez deux poignées de staphis sauvage (*staphis agria*, L.), mouillez avec du mélicrat, et faites boire.

96. (*Recettes pour reconnaître si une femme est en état de concevoir.*) Moyen explorateur : pilez une gousse d'ail, et appliquez-la aux matrices; le lendemain, introduisez le doigt et examinez; si la bouche sent, c'est bien; sinon, ap-

les passages parallèles des Aph. et du livre des Femmes stériles, il est clair que ce passage-ci est mal rédigé; il s'agit d'une substance odorante placée à la matrice et se faisant sentir à la bouche. — [10] κᾶν C. – ὀρῇ vulg. – ὄζῃ Cornar. et Foes ex libro de Steril., Lind. – ὀρῇς C. – εὖ ἔχει om. C. – εἰ δ' οὐ vulg. – εἰ δ' οὖν DFGHJK. – εἰ δὲ μὴ C. – προστιθέναι C.

μὲν ὄζῃ τὸ στόμα, εὖ ἔχει· εἰ δὲ μὴ, πάλιν προστιθέσθω. [1] Ἕτερον πειρητήριον· νέτωπον ὀλίγον ἐν εἰρίῳ εἰλίξας προσθεῖναι, καὶ ὁρῇν ὅθεν ἂν τοῦ στόματος ὄζῃ.

97. Προσθετά· σκορπίου [2] θαλασσίου τὴν χολὴν ἐς εἴριον ἐνειλίξας, καὶ ξηρήνας ἐν σκιᾷ, προστίθει. [3] Γλήχωνα ξηρὴν λείην ποιήσας, μέλιτι δεύσας, προστιθέναι ἐν εἰρίῳ. [4] Σικύου σπέρμα καὶ ὄστρακον καταχαύσας, οἴνῳ τε δεύσας, ἐν λαγωῇσι θριξὶ καὶ ἐν εἰρίῳ προστιθέναι. [5] Στυπτηρίην Αἰγυπτίην εἰρίῳ καθελίξας προστίθει. [6] Κανθαρίδας οἴνῳ δεύσας ἐν εἰρίῳ προστίθει. [7] Τὴν ἀρτεμισίην ποίην οἴνῳ δεύσας προστίθει. [8] Μελάνθιον τρίψας ἐν οἴνῳ λευκῷ εἰρίῳ προστίθει. [9] Νεοτόκῳ· ῥόδινον μύρον καὶ κηρὸν ἐν εἰρίῳ προστίθει. [10] Βόλβιον τὸ ἐκ τῶν πυρῶν τρίψας, ἐν οἴνῳ δεύσας, ἐν εἰρίῳ προστίθει. [11] Οἴνου λευκοῦ παλαιοῦ τὴν τρύγα καταχαύσας καὶ καταδεύσας ἐν οἴνῳ λευκῷ καὶ τρίψας, ἐν εἰρίῳ προστίθει. [12] Χαλβάνην καὶ νέτωπον καὶ μίσυ ἐν ῥοδίνῳ μύρῳ ἐν ὀθονίῳ προστίθει. [13] Ἐλατήριον ὡς δύο πόσιας καὶ κηρίον ἐν οἴνῳ ἐν ὀθονίῳ προστιθεῖ. [14] Βούτυρον καὶ στυπτηρίην μέλιτι δεύσας ἐν ὀθονίῳ προστίθει. [15] Ὀπὸν σκαμμωνίης καὶ στέαρ ἐν μάζῃ ξυναναμίξας, οἴνῳ δεύσας, ἐν ὀθονίῳ προστίθει.

98. [16] Ἢν μὴ θέλῃ κυίσκεσθαι, [16] μίσυος ὅσον κύαμον διεὶς ὕδατι, δίδου πίνειν, καὶ ἐνιαυτὸν οὐ κυίσκεται.

[1] Ἕτ. om. C. – εἰλίξας GHIJK, Ald. – ὅθεν om. K. – τὸ στόμα K. — [2] θαλασίου C. – χηλὴν G. – εἰς D. – ἔριον C. – ἑλίξας D. – ἐρρήξας C. – ἐνρήξας FGIJ, Ald. – ἑλίξας K. – ξηράνας C. — [3] Ante γλ. addit ἕτερον H. – γλίχωνα CHJ. – ξηρὴν λείην C. – ξηρὸν λεῖον vulg. – ἐν μελιτι C. – ἐν εἰριω προσθεῖναι C. — [4] Ante σ. addunt ἕτερον CH. – καταχλύσας C. – τε om. C. – λαγῶ C. – καὶ C. – καὶ om. vulg. — [5] ἕτερον CH. – ἐρίω C. – καθελίξας D. – κατελίξας vulg. – κατελλίξας C. — [6] ἕτερον CH. – κανθαρίδα τρίψας οἴνω δεύσας προστίθει C. – κανθ.... προστίθει om. restit. al. manu ante στυπτηρίην D. — [7] ἕτερον CH. – ποίην om. J. – ποιήσας pro ποίην C. — [8] ἕτερον CH. – λευκῷ om. CGHIJK, Vaticana exempl. ap. Foes, Ald. – [ἐν] εἰρίῳ Lind. – ἐρίω C. — [9] ἕτερον C. – πειρητήριον DQ'. – ἕτερον pro νεο. H. – νεοτόκῳ πειρητήριον Lind. – ῥόδινον.... προστίθει om. K. – προστιθέναι C. — [10] ἕτερον H. – βόλβιτον vulg. – βόλβιον C, Lind. – πυρρῶν GHIK. — [11] ἕτερον CH. – λευκοῦ om. C. – κατασκευάσας pro καταδεύσας C. – κατασβέσας Vaticana exempl. ap. Foes, Lind. – ἐν om. C. – οἴνω ὀθονίω pro εἰρίῳ C. – ἐν ὀθονίω Vaticana exempl. ap. Foes. — [12] ἕτερον CH. – χαλ.... προστίθει om. J. – χάλβανον G. – νέτ. καὶ χαλ. C. – καὶ ante νέτ. om. FG. — [13] ἕτερον CH. – ἐλ.... προστίθει om., restit. al. manu D. – ἐλατηρίου K. – ἐς pro ὡς C. –

pliquez de nouveau (Aph. v, 59). Autre moyen explorateur : enveloppez un peu de nétopon (*huile d'amandes amères*) dans de la laine, appliquez, et voyez quelle odeur vient par la bouche.

97. (*Différents pessaires.*) Pessaires : mettez dans de la laine la bile du scorpion marin (*scorpæna scrofa*), séchez à l'ombre, et appliquez. Broyez du pouliot sec, humectez avec du miel, et appliquez dans de la laine. Grillez de la graine de courge et un têt, mouillez avec du vin, et appliquez dans du poil de lièvre et de la laine. Mettez dans de la laine de l'alun d'Égypte, et appliquez. Mouillez avec du vin des cantharides, et appliquez dans de la laine. Mouillez dans du vin l'armoise, et appliquez. Pilez du mélanthion (*nielle*) dans du vin blanc, et appliquez dans de la laine. A une nouvelle accouchée : appliquez dans de la laine du parfum de rose et de la cire. Pilez le petit bulbe qui vient dans les blés (*hyacinthus bulbosus*, L. d'après Dierbach), mouillez avec du vin, et appliquez dans de la laine. Brûlez la lie de vin blanc vieux, mouillez-la avec du vin blanc, broyez et appliquez dans de la laine. Appliquez du galbanum, du nétopon et du misy (*sulfate de cuivre*), avec du parfum de rose, dans de la laine. Prenez la valeur de deux potions d'élatérion, et de la cire avec du vin, et appliquez dans un linge. Prenez beurre et alun, mouillez avec du miel, et appliquez dans du linge. Mêlez dans de la polenta du suc de scammonée et de la graisse, mouillez avec du vin, et appliquez dans un linge.

98. (*Recette pour empêcher une femme de devenir enceinte.*) Si une femme ne veut pas devenir enceinte, délayez dans de l'eau gros comme une fève de misy, donnez à boire, et d'une année elle ne deviendra pas enceinte.

πόσης C. — [14] ἕτερον H. – Ante βού. addit ἕτερον· ῥόδινον μύρον καὶ κηρὸν ἐν εἰρίῳ προστίθει K. – βούτ.... προστίθει om. C. — [15] ἕτερον CH. – σκαμμωνίας C. – συμμίξας C. – ξυναν.... D. – συναν.... vulg. – ἐν om. DGIJK. — [16] μίσυ C. – δοῦναι C. – κυήσεται Cornar. ex libro I de Morb. Mul., Lind.

99. Ἢν βούλῃ γυναικὸς [1] ἐμπειρηθῆναι, εἰ ἔστι παιδοῦσα εἴτε μὴ, τῇ ἐρυθρᾷ λίθῳ τοὺς ὀφθαλμοὺς ὑπαλεῖψαι, καὶ ἢν μὲν ἐσέλθῃ τὸ φάρμακον, [2] παιδοῦσα γίνεται· ἢν δὲ μὴ, οὔ.

100. Ἢν [3] παιδίου ἀφθᾷ τὰ αἰδοῖα, ἀμύγδαλα λεῖα τρίψας καὶ βοὸς μυελὸν, ἐν ὕδατι ἑψῶν, καὶ ἄλητον ἐμβαλὼν μικρὸν, διαχρίειν τὰ αἰδοῖα, καὶ διακλύζειν τῷ ὕδατι τῷ ἀπὸ τῶν μύρτων.

101. Ἢν [4] παρθένος λιθιήσῃ, τοῦ φύλλου διδόναι τῆς Αἰθιοπικῆς ῥίζης σταθμῷ, ἐν οἴνῳ παλαιῷ διδοὺς ἐπὶ ἡμέρας δέκα, τὸ δὲ λοιπὸν διηθῶν ἐν ὕδατι ἐπὶ εἴκοσιν [5] ἡμέρας, καὶ λούειν δὶς τῆς ἡμέρης πολλῷ καὶ θερμῷ.

102. [6] Καταπλάσματα· σκόροδον, ἀνδράχνην, σέλινον, λωτοῦ καὶ κέδρου πρίσματα λεῖα ὁμοῦ μίξας, διεὶς μελικρήτῳ, κατάπλασμα ποιέων, κατάπλασσε. [7] Βάτου φύλλα, μυρσίνης φύλλα, ὁμοῦ λεῖα διεὶς μελικρήτῳ, ξυμφυρήσας ἀλφίτοις, κατάπλασσε. [8] Ἀκτῆς φύλλα, μυρσίνης φύλλα, τερμίνθου τὰ ἁπαλώτατα τὸν αὐτὸν τρόπον κατάπλασσε. [9] Λωτοῦ πρίσματα, συκαμίνου φύλλα ὁμοῦ λεῖα μίξας, διεὶς ὕδατι ἀσταφίδος, κατάπλασσε.

103. [10] Ὑποθυμιήσεις· οἰσύπην αἰγὸς ξηρὰ κόψας, καὶ κριθὰς πεφωσμένας καὶ ἐρηριγμένας, ἐν ἐλαίῳ δεύσας, ὑποθυμία. [11] Ἐλάφου κέρας καὶ ἐλαίας τὰς μήπω ἐχούσας ἔλαιον, ὁμοῦ λεῖα μίξας, θυμία. [12] Ῥοῦν τὴν ἐρυθρὴν καὶ ἄλφιτα πεφωσμένα ἐλαίῳ δεύσας, ὑποθυμία.

[1] Ἐκπ. C. – ἐμπυρηθῆναι G. – εἰ om. J. – ἔτι pro ἔστι F. – παιδίουσα vulg. – παιδέουσα Lind. – παιδοῦσα C. – εἴτε καὶ (καὶ om. C) μὴ vulg. – γῆς ἐρυθρᾶς pro τῇ ἐρ. C. – λιθότους (sic) ἐπαλεῖψαι pro λ. τοὺς ὀφ. ὑπ. C. – εἰσέλθῃ D. — [2] παιδίουσα vulg. – παιδέουσα Lind. – παιδίουσσα J. – παιδασοῦ (sic) C. – γίγν. C. – εἰ C. — [3] παιδίον K. – παιδιούσῃ legit Cornar., probat Foes in not. – παιδεούσῃ Lind. – ἄφθα C. – ἀφθᾶ JK. – ἀμυγδάλια pro ἀμ. λεῖα C. – ἕψων C. – μίκκον C. — [4] λιθ. παρθένος C. – καρποῦ pro φύλλου legit Cornar. – αἰθισπικῆς (sic) C. – ἐν (ἐν om. C) σταθμῷ vulg. — [5] ἡμέρας C. – ἡμέραις CK. – καὶ λ. ἑκάστης ἡμέρης δὶς καὶ π. καὶ θ. C. – δὶς καὶ τῆς J. — [6] κατάπλασμα CHJ. – σκόρδον καὶ ἀνδ. καὶ σέλ. καὶ λωτοῦ σπέρμα καὶ C. – μελίκρητον C. – καὶ κατάπλασμα ποιῶν C. — [7] ἕτερον CH. – μυρσ. φ. om. C. – ῥοῦ pro ὁμοῦ Vaticana exempl. ap. Foes. – ῥόδου lib. II de Morb. Mul. – μελίκρητον C. – συμφυράσας C. — [8] ἕτερον CH. – μυρσ. φ. om. J. – φύλλα om. K. – τερμινθίνης DQ'. – τερμίνθης HJ. — [9] ἕτερον CH. – λω.... κατάπλασσε om. J. – Post φύλλα addit ῥοῦ φύλλα C. – σταφίδος C. — [10] ὑποθυμίησις C. – ὑποθυμιάσεις D. – ὄϊος σταῖς (σταὶς CHJ) ἢ (ἢ om. C) αἰγὸς ξηρὰς (ξηρὰς CGIJ; ξηρὰ D; ξηρὸν K) (ὄϊος ἢ αἰγὸς κέρας Cornar.) κόψας vulg. – οἰσύπην αἰγὸς ξηράνας [καὶ] κόψας Lind. – La correction de Lind., du moins en ce qui concerne οἰσύπην, paraît bonne; comparez l. II des Mal.

99. (*Recette pour reconnaître si une femme est grosse.*) Voulez-vous reconnaître si une femme est enceinte ou non, frottez-lui les yeux avec la pierre rouge : si la substance pénètre, elle est grosse ; sinon, non (*voy*. Argument des Aph., t. V, p. 433, *et le passage parallèle d'Aristote*).

100. (*Aphthes aux parties génitales de l'enfant; remède.*) Si les parties génitales de l'enfant sont aphtheuses, pilez des amandes et de la moelle de bœuf, faites cuire dans de l'eau, ajoutez un peu de farine, oignez les parties génitales, et faites des lotions avec l'eau de baies de myrte.

101. (*Recette contre la pierre chez une jeune fille.*) Si une jeune fille a la pierre, donnez une drachme de la feuille de la racine éthiopique (*salvia æthiopis*, L.) dans du vin vieux, pendant dix jours ; vous passez le reste, et vous le donnez dans de l'eau pendant vingt jours ; on lavera deux fois par jour avec beaucoup d'eau chaude.

102. (*Cataplasmes.*) Cataplasmes : ail, andrachné (*portulaca oleracea*), persil, sciure de lotus et de cédros (*juniperus oxycedrus*), broyez, mêlez, mouillez avec du mélicrat, faites un cataplasme et appliquez. Feuilles de ronce et de myrte ; broyez, mouillez avec du mélicrat, pétrissez avec de la farine d'orge, et appliquez en cataplasme. Feuilles de sureau, feuilles de myrte, parties les plus tendres du térébinthinier ; appliquez de la même façon en cataplasme. Sciure de lotus, feuilles de sycaminus (*morus nigra*) ; mêlez, broyez, mouillez avec de l'eau de raisin sec, et appliquez en cataplasme.

103. (*Fumigations.*) Fumigations : broyez du suint sec de chèvre et de l'orge grillée et concassée, mouillez avec de l'huile, et faites une fumigation. Corne de cerf et olives n'ayant pas encore d'huile ; broyez, mêlez, et faites une fumigation. Sumac rouge et polenta grillée ; mouillez avec de l'huile, et

des Femmes, τὸ λεγόμενον οἰσύπη αἰγὸς ξηρὰ κόψαι. – καὶ ἐρηρ. ἐν om. C. – ἐρηρισμένας Vaticana exempl. ap. Foes, Ald. – ἐρειγμένας (sic) D. – ὑποθυμίη C. – θυμία (D, al. manu ὑποθ.) GHIJK. — [11] ἕτερον CH. – αἳ μήπω ἔχουσιν C. – μίξας λεῖα ὑποθυμιῆν C. — [12] ἕτερον CH. – ῥοῦν.... ὑποθυμία om. G. – πεφρυγμένα C. – ὑποθυμιῆν C. – θυμία DHIJK.

[1] Ἄλφιτον καὶ βόλβιτον καὶ ἄχυρα ἐλαίῳ δεύσας, ὑποθυμία. [2] Λωτοῦ πρίσματα καὶ ῥοῦ φύλλα καὶ κυπαρίσσου ξηρῆς πρίσματα οἴνῳ δεύσας μέλανι αὐστηρῷ, ὑποθυμιῆν. [3] Χαλβάνην, μάννην, ῥητίνην μύρῳ δεύσας, ὑποθυμιῆν. [4] Αἰγὸς κέρας καὶ κηκίδα καὶ στέαρ ὑὸς κεδρίῃ δεύσας, ὑποθυμία. [5] Ὄνων τὴν ἐπὶ τῷ ποδὶ γῆν ξύσας καὶ ὀνίδας οἴνῳ μέλανι δεύσας, ὑποθυμιῆν.

104. [6] Κλυσμοί· μυρσίνης φύλλα καὶ δάφνης καὶ κισσοῦ ἐν ὕδατι χλιερῷ κλύζειν. [7] Ῥοῦ φύλλα καὶ ῥοιῆς γλυκείης καὶ βάτου, ἐν μελικρήτῳ ἀφεψῶν, ἀποχέων, κλύζειν. [8] Τῆς ἀκτῆς τὰ φύλλα καὶ τῆς σχίνου ἀφεψῶν ὕδατι, ἀποχέας, ἀκροχλίερον κλύζειν. [9] Μαράθου ῥίζαν κόψας, ἐν ὕδατι ἀφεψῶν, καὶ κράμβης, ἐπιχέας ἔλαιον, ἔπειτα ἀποχέας, κλύζειν. [10] Οἰνάνθην καὶ κύπερον καὶ ἀσταφίδας ἀφεψῶν ἐν μελικρήτῳ, κλύζειν. [11] Μάλαγμά τι ἐν ὕδατι ζέσας, ἀποχέας τὸ ὕδωρ, ἀκροχλίερον κλύζειν. [12] Κυπαρίσσου πρίσματα καὶ ἀμάρακον ἐν γλυκεῖ κεκρημένῳ ὕδατι ἀφεψῶν, κλύζειν. [13] Ἔρπυλον καὶ λευκοίου τὴν ῥίζαν ἀφεψῶν ἐν μελικρήτῳ, κλύζειν. [14] Ὑπερικὸν καὶ σχῖνον καὶ κεδρίδας ἐν ὕδατι ἀφεψῶν, ἀκροχλίερον κλύζειν. [15] Κηρίον καὶ βούτυρον καὶ ῥητίνην καὶ χηνὸς ἔλαιον ἐν ὕδατι ἀφεψῶν, κλύζειν.

105. [16] Πυριήσεις· αἴρας φώξας καὶ καταλέσας, ἕψε ἐν ὀξυκράτῳ

[1] *Ἕτερον C. – ἄσφαλτον pro ἄλ. C, Vaticana exempl. ap. Foes. – ἄχυρον C. – ἄχυρα [κριθῶν] Lind. – ὑποθυμιῆν C. — [2] ἕτερον CH. – λ. πρ. καὶ κυπ. ξηρῆς καὶ ῥοῦ φύλλα οἴνω J. – καὶ ῥοῦ φ. καὶ κυπ. ξ. πρ. om. Lind. – ξηρὰ pro ξηρῆς πρ. C. – μέλανι δεύσας vulg. – δεύσας μέλανι C. — [3] ἕτερον CH. – χαλ.... ὑποθυμιῆν om. FG. – χαλ.... ὑποθυμιῆν ponitur post ὑποθυμία J. – μάννην CD. – μάνναν vulg. – μάννα J. – οἴνω pro μύρῳ C, Vaticana exempl. ap. Foes. — [4] ἕτερον CH. – καὶ om. C. – κηκίδα IK, Lind. – κικίδα vulg. – ὀϊὸς ὀστέα pro στ. ὑὸς C. – ὀστέα pro στέαρ Vaticana exempl. ap. Foes. – καὶ (καὶ om. C) κεδρία (κέδρια DI; κέδριον Lind.; κεδρίη C) vulg. – δεύσας C. – δεύσας om. vulg. – ὑποθυμιῆν C. — [5] ἕτερον CH. – ὄνου C. – ἵππον ὑπὸ δυαινῶν (sic) pro τὴν ἐπὶ τ. π. γῆν C. – τῶν ὀνίδων pro καὶ ὀνίδας C. — [6] κλυσμὸς J. – βάτου pro δάφνης J. – κυσσοῦ C. – ἐν μελικρήτω ἀφέψων ἀποχέων pro ἐν ὕ. χλ. J. – χλιηρῷ vulg. – χλιερῷ C. — [7] ἕτερον C. – γλυκείης C, Vaticana exempl. ap. Foes. – γλ. om. vulg. – ἐν ὕδατι χλιηρῷ pro ἐν μ. ἀφ. ἀποχέων J. — [8] ἕτερον C. – ἐχίνου vulg. – σχίνου Cornar. et Foes ex libro II de Morb. Mul., Lind. – Post ὕδ. addunt ἔλαιον ἐπιχέων C, Vaticana exempl. ap. Foes. – ἀκροχλίερον C. – ἀκροχλιήρως vulg. — [9] ἕτερον C. – μαράθου CHJK. – ἔλαιον ἐπιχέων ἔπειτεν ἀποχέων C. — [10] ἕτερον C. – κύπειρον D. – κύπαιρον CI. – ἀσταφίδα CDHIJK. – ἀφέψων C. — [11] ἕτερον C. – μαλάγματι H. – νώματα (sic) pro μ. τι C. – μαλαχὴν pro μ. τι Lind. ex Cornario, qui habet : malagmata : malvam et fœniculum, etc. – τὸ om. C. – ἀκροχλίη-

faites une fumigation. Polenta, bouse de vache et paille; mouillez avec de l'huile, et faites une fumigation. Sciure de lotus, feuilles de sumac, sciure de cyprès sec; mouillez avec du vin noir astringent, et faites une fumigation. Galbanum, manne, résine; mouillez avec du parfum, et faites une fumigation. Corne de cerf, noix de galle, graisse de porc; mouillez avec de la résine de cédros (*juniperus oxycedrus*), et faites une fumigation. Raclez la terre qui est sous le sabot de l'âne, prenez du crottin d'âne, mouillez avec du vin noir, et faites une fumigation.

104. (*Injections.*) Injections : feuilles de myrte, de laurier et de lierre, dans de l'eau tiède; injectez. Feuilles de sumac, de grenadier doux, de ronce; faites cuire dans du mélicrat, transvasez, injectez. Feuilles de sureau et de lentisque; faites cuire dans de l'eau, transvasez, et injectez tiède. Pilez des racines de fenouil, faites cuire dans de l'eau avec du chou, après avoir versé de l'huile; transvasez, injectez. OEnanthe (*fleur de vigne*), cypérus (*cyperus rotundus*), raisins secs; faites cuire dans du mélicrat, injectez. Faites bouillir dans de l'eau un emplâtre émollient quelconque, transvasez, injectez tiède. Sciure de cyprès, amaracus (*origanum majorana*); faites cuire dans du vin cuit coupé d'eau, et injectez. Serpolet, racine de leucoïum (*viola odorata*); faites cuire dans du mélicrat, et injectez. Hypéricum, lentisque, baies de cédros; faites cuire dans de l'eau, et injectez tiède. Rayon de miel, beurre, résine, graisse d'oie; faites cuire dans de l'eau, et injectez.

105. (*Fomentations.*) Fomentations : grillez de l'ivraie, pilez,

ρον vulg. – ἀκροχλυέρω C. – ἀκροχλίερον DK. – ἀκροχλίαιρον HI. – ἀκροχλίαρον J. — [12] ἕτερον C. – ἀμαράκινον D. – ἀμαρακὸν C. – μαράκινον FGHIJK, Vaticana exempl. ap. Foes, Ald. – κεκραμμένω C. – κεκρημμένω Ald. – ὑδαρεῖ pro ὕδ. C, Vaticana exempl. ap. Foes. — [13] ἕτερον C. – λευκαίνον (sic) C. – μελικρητικῶ C. — [14] ἕτερον C. – ὑπερικοῦ HIJ. – σχίνον K. – κεδρίνας FGHIJ, Ald. – ἀκροχλίηρον vulg. – ἀκροχλίαρον DJ. – ἀκροχλίαιρον HI. – ἀκροχλίερον K. – κλύζειν ἀκροχλιέρω C. — [15] ἕτερον C. – Post κλύζειν addit ἀποζέσας C. — [16] πυρίησις C. – φώσας C. – καταδεύσας pro καταλ. DFGIJKQ', Lind. – ἀκρατεστέρῳ vulg. – ἀκρητεστ. DHIJK. – ὅταν C. – συνεψήσης C. – ἐνδύσας J. – ἐς CDHJK. – εἰς vulg.

ἀκρητεστέρῳ· ὁκόταν δὲ ἑψήσῃς, ἐνδήσας ἐς ὀθόνιον, πυριῆν. [1] Φακοὺς φώξας καὶ περιπτίσας, ποιήσας ἄλευρα χονδρότερα, ὕδατι ἀφεψήσας, ἐνδήσας ἐς ὀθόνιον, προστίθει. [2] Ὀρόβους τὸν αὐτὸν τρόπον ποιέων, πυριῆν· ἀγαθὸν δὲ καὶ ὁ ἐλελίσφακος τὸν αὐτὸν τρόπον γινόμενος. [3] Ἐλελίσφακον καὶ ὑπερικὸν ἀφεψῶν ἐν ὕδατι, ἐν τῷ ἀφεψήματι ἄχυρα κριθῶν ἑψήσας, ἐνδήσας ὀθονίῳ, πυρία. Λωτοῦ πρίσματα καὶ κυπαρίσσου ἀφεψῶν ἐν [4] ἀσταφίδος ἀποβρέγματι, ἐνδήσας ἐς ὀθόνιον, πυρία. [5] Ἐλαίης φύλλα καὶ μυρσίνης καὶ κισσοῦ καὶ δάφνης ἑψῶν [6] ἐν ὕδατι, ἀποχέας τὸ ἀφέψημα, ἕψε ἐν αὐτέῳ ἄχυρα κριθῶν, ἔπειτα ἐνδήσας ἐς ὀθόνιον, πυρία. Κυπαρίσσου πρίσματα καὶ κέδρου καὶ πίτυρα [7] κριθῶν, ὁμοῦ μίξας ἐν ἀποβρέγματι ἀσταφίδος, φυρήσας καὶ ποιήσας ἄρτον, ὀπτήσας, θερμὸν ἐς ῥάκος ἐνδήσας, πυρία. [8] Λευκοίου τὸν καρπὸν ἢ τὰς ῥίζας ἀφεψήσας ὕδατι, καὶ τῷ ὕδατι φυρήσας πίτυρα πυρῶν, ἄρτον ποιήσας, θερμὸν ἐς ῥάκος ἐνειλίξας, πυρία. [9] Τὸν ἕρπυλον ἐν ὕδατι ἀφεψήσας, τῷ ἀφεψήματι πίτυρα πύρινα ἐμβαλὼν, τὸν αὐτὸν τρόπον πυρία. [10] Πυριῆν δὲ καὶ σπόγγον θερμαίνων καὶ προστιθεὶς, καὶ εἰρίοισι μαλθακοῖσι, καὶ ῥάκεσιν [11] ἐρίοισι, καὶ ὀστρακίνοισιν ἀγγείοισιν ὕδωρ ἐπιχέων, καὶ θυλακίοισι τὸν αὐτὸν τρόπον, καὶ τῶν ἀφεψημάτων ἐγχέων, πυριῆν.

106. [12] Καθαρτήριον· ἣν γυναῖκα μὴ δυναμένην τεκεῖν, κυῆσαι θέλῃς ποιῆσαι, σκέψασθαι χρὴ ἐν τοῖσι καταμηνίοισιν, ἥν τε χολώδης, ἥν τε φλεγματώδης ᾖ. Γνώσῃ δὲ [13] τῷδε· πρότερον ψάμμον ἐμβαλὼν ἐς τὸν ἥλιον λεπτὴν, ξηρὴν, ὁκόταν τὰ καταμήνια γένηται,

[1] Ἕτερον C. – φώσας C. – περιπτήσας vulg. – περιπάσας C, Vaticana exempl. ap. Foes. – περιπτίσας DJK, Lind. – καὶ (καὶ om. C) ποιήσας vulg. – χονδρώδη vulg. – χονδρότερα C. – ἐν ὕδατι ἑψήσας C. – ἐνδήσας om. C. – εἰς vulg. – ἐς CHIJK. – τίθει DFGHIK. – πυριῆν pro προστ. J. — [2] ἕτερον C. – ποιῶν C. – ἀγαθ.... γινόμενος om. C. – ὁ om. FG, Ald. — [3] ἕτερον· τὸν ἑλ. C. – ἐνδήσας ὀθονίῳ C. – ἐς ὀθόνιον pro ἐνδ. ὀθ. (addit Lind. ἐνδήσας) vulg. – πυριῆν C. — [4] σταφίδος C. — [5] ἕτερον C. – ἐλαίης.... πυρία om. (D, restit. al. manu) FGHIJK. – κυσσοῦ C, Ald. — [6] ἐν om. C. – ἕψε om. C. – πυριῆν C. — [7] πυρῶν C. – σταφίδος ἀποβρέγματι sine ἐν C. – ἀστ. ἐν ἀποβρ. DHIJK. – Ante ῥάκος addit ἐρρέου C. – ἐς ἐρίον pro ῥάκος Vaticana exempl. ap. Foes. – ἐνειλίξας pro ἐνδ. C. – πυριῆν C. — [8] ἕτερον. Τοῦ λευκοῦ τὸν C. – ἀφεψ. ἐν ὕδατι C. – καὶ om. C. – κριθῶν (D, al. manu πυρῶν) Q′, Vaticana exempl. ap. Foes, Lind. – πυρρῶν GIK. – ὀπτήσας pro ποιήσας D (H, al. manu) Q′, Lind. – ῥάκω (sic) sine ἐς J. – ἀνειλίξας C. – πυριῆν C. — [9] τὸ C. – ἑψήσας C. – ἀπεψήματι C. – πύρινα πίτυρα D. – πύρρινα GHIK. – ἐμβ. om. C. – πυριῆν C. — [10] πυριῆν δὲ καὶ σπόγγον C. – σπόγγους pro π. δὲ καὶ σπ.

faites cuire dans de l'oxymel pur; quand c'est cuit, mettez dans un linge, et fomentez. Grillez et décortiquez des lentilles, faites-en une farine grossièrement moulue, faites cuire dans l'eau, mettez dans un linge, et appliquez. Préparant de la même façon de l'ers, appliquez. La sauge employée semblablement est bonne aussi. Faites cuire de la sauge et de l'hypéricum dans l'eau, faites cuire de la paille d'orge dans cette décoction, attachez dans un linge, et appliquez. Sciure de lotus et de cyprès; faites cuire dans une décoction de raisins secs, attachez dans un linge, et appliquez. Feuilles d'olivier, de myrte, de lierre et de laurier; faites cuire dans de l'eau, transvasez la décoction, faites cuire dans cette décoction de la paille d'orge, attachez dans un linge, et appliquez. Sciure de cyprès et de cédros, son d'orge, mêlez le tout dans une décoction de raisins secs, pétrissez, faites un pain, faites-le cuire, attachez-le chaud dans un linge, et appliquez. Graine ou racine du leucoïum (*viola odorata*); faites cuire dans l'eau; avec cette eau, pétrissez du son de blé, faites un pain, enveloppez-le chaud dans un linge, et appliquez. Faites cuire dans de l'eau du serpolet, jetez dans cette décoction du son de blé, et appliquez de la même façon. Fomentez encore avec des éponges chaudes, avec de la laine molle ou des lainages, avec des vases de terre ou des outres; versez-y les décoctions, et appliquez.

106. (*Recette pour faire enfanter une femme, et pour reconnaître si elle est bilieuse ou pituiteuse.*) Mondificatif : voulez-vous faire enfanter une femme qui ne peut enfanter, examinez dans les menstrues si elle est bilieuse ou pituiteuse. Vous le reconnaîtrez à ceci : commencez par jeter au soleil, quand les règles vont, du sable léger et sec, puis, sur ce sable, versez du sang des règles, et laissez sécher au soleil; si la femme est

vulg. – εἰρίοις C. – μαλακοῖσι C. — [11] αἰγείοις pro ἐρ. C. – ἐρέοισιν Ald., Frob. – ἐρ. om. DFGIJK. – καὶ τοῖς ὀστ. C. – ὀστρακίοισιν vulg. – ὀστρακίνοις C. – ὀστρακίνοισιν DGHIJK, Ald. – ἐγχέων C. – θηλακίοισι C. — [12] καθαρτήρια DH. – θελήση C. – θέλεις K. – τοῖς C. – ᾗ om. C. — [13] τόδε vulg. – τῶδε C. – ὑποβαλὼν C. – εἰς vulg. – ἐς CDH. – [καὶ] ξηρὴν Lind. – ὅταν C. – γένηται C. – γένωνται vulg.

ἐν τῷ ἡλίῳ, [1] ἀποχέας τοῦ αἵματος, ἔα ξηρανθῆναι· καὶ ἢν μὲν χολώδης ᾖ, ἐπὶ τῇ [2] ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν γίνεται· ἢν δὲ φλεγματώδης, οἷον μύξα. Τουτέων οὖν [3] ὁκότερον ἂν ᾖ, καθήρας τὴν κοιλίην, ἤν τε ἄνω ἤν τε κάτω δοκέῃ σοι δεῖσθαι, εἶτα διαλιπὼν ἡμέρας ὀλίγας, τὰς ὑστέρας καθαίρειν.

107. Ὑστερέων πυρίαι· ἢν [4] σκληραὶ ἔωσιν αἱ ὑστέραι καὶ μὴ κυΐσκηται, οἶνον ὡς ἥδιστον ἴσον κεράσας, ὡσεὶ τρία ἡμίχοα Ἀττικὰ, καὶ μαράθου ῥίζας, καὶ τοῦ καρποῦ [5] τοῦ μαράθου τετάρτην μοίρην, καὶ ῥοδίνου ἀλείμματος ἡμικοτύλιον· ταῦτα ἐγχέας ἐς ἐχῖνον καινὸν, καὶ τὸν οἶνον ἐπιχέας, τοῦ δὲ [6] ἐχίνου τρυπῆσαι τὸ ἐπίθεμα, καὶ ἐνθέντα κάλαμον πυριῆν· τὸν δὲ κάλαμον σὺν τῷ ἐπιθέματι ἀφαιρέεσθαι· ἢν γὰρ ἄνευ τοῦ ἐπιθέματος [7] ἀφαιρέηται, καυθήσεται. Ἐπὴν δὲ πυριήσηται, τὴν σκίλλην προστίθεσθαι, ὡς κάτω γέγραπται· [8] προστίθεσθαι δὲ ἔστ' ἂν φῇ μαλακὸν εἶναι τὸ στόμα καὶ εὐρύ.

108. [9] Καὶ ἢν ἑλκωθῇ καὶ φλύκταιναι ὦσιν ἐν τῇ καθάρσει, ἢν μὲν ἄκρα τὰ χείλεα ἑλκωθῇ, ἄνισον καὶ χήνειον ἔλαιον ἐν ῥοδίνῳ ἐλαίῳ τρίψας, [10] ἐς εἰρίον ἐνειλίξας, σάρκα βοὸς λαβὼν παχυτέρην τοῦ μεγάλου δακτύλου τοῦ ποδὸς, μῆκος δὲ ἓξ δακτύλων, [11] χρίσας τῷ φαρμάκῳ, περιελίξας τῷ εἰρίῳ, τὸ φάρμακον ἀνασπογγίσας, τὸ ἔσχατον τῆς σαρκὸς, ὃ μέλλει ἔξω εἶναι, λίνῳ δήσας, ἔνθες τὸ ψιλὸν τῆς σαρκὸς ἐς τὰς μήτρας, οὗ ἂν τὸ ἕλκος ᾖ.

109. [12] Γυναικεῖα καθαρτήρια· ἢν μὴ πορεύηται ἡ κάθαρσις, λαβὼν σικύης ἐντεριώνην ὅσον τριώβολον καὶ ἀρτεμισίην ποίην καὶ

[1] Ἐπιχέας C. – εἶα C. — [2] ἄμμω C. – γίνηται Ald. – φλεγματῶδες D. – φλεγματώδης ἢ C. — [3] ὁπ. C. – ἂν om. K. – δοκεῖ C. – δοκέει J. – εἶτα om. C. – ὀλίγας ἡμ. C. — [4] κληραὶ (sic) H. – πλῆραι (sic) FGIK. – πλήρεις DJQ'. – ἐῶσιν C. – αἱ ὑστ. om. C. – κυΐσκεται C. – ἴσον ἴσῳ κ. L, Lind. – ὅστρια (sic) pro ὡσεὶ τρία C. – ἡμιχόεα DJL, Lind. – μαράθου (bis) CGHIJK, Ald. — [5] τοῦ om. C. – μοῖραν C. – μοίραν D. – ἀλείματος C. – ἡμικοτύλην vulg. – ἡμικοτύλιον CK. – ἐχίνον I, Frob. – κενὸν (κ. om. Ald.) vulg. – καινὸν Erot., p. 170, Lind. – καὶ οἶνον pro καινὸν C. — [6] ἐσχίνου Frob. – τὸ om. C. – ἀφαιρεῖσθαι C. — [7] ἀφαιρέηται J. – ἀφαιρεῖται C. – ἀφαιρῆται FHIKQ'. – ἀφαιρέῃς vulg. – κατακαυθήσεται C. – σκίλλην C. – σκίλλαν vulg. — [8] καὶ προσκεῖσθαι ἐπ' ἀμφοῖν μὴ μαλθακὸν pro προστ. δὲ ἔ. ἂν φῇ μ. C. – μαλθακὸν J. — [9] καὶ ἢν (ἐὰν C) μὲν (μὲν om. C) ἑλ. vulg. – φλέκτενες FH. – φλυκταῖναι CD, Frob. – φλυκτένες IJK. – φλεκτένες G, Ald. – ἄννησον vulg. – ἄνισον CDHJ. – ἄνησον K. — [10] εἰς ἔριον C. – ἐρίον J. – ἐνελίξας HIJK. – παχύτερον

bilieuse, le sang desséché sur le sable est jaune; si elle est pituiteuse, il est comme une mucosité. Conformément à celle de ces deux dispositions qui existera, purgez le ventre par haut ou par bas, selon que vous le jugerez nécessaire; puis, après un intervalle de quelques jours, purgez les matrices.

107. (*Fomentation pour la dureté de matrice.*) Fomentations utérines : si les matrices sont dures et que la femme ne devienne pas grosse, prenez du vin très-agréable, coupez-le de moitié d'eau, de manière à avoir trois demi-conges attiques, prenez des racines de fenouil, un quart de graine de fenouil et une demi-cotyle de parfum de roses; mettez dans un pot neuf, versez le vin, percez le couvercle du pot, mettez-y un roseau, et fomentez : on ôtera le roseau avec le couvercle; car, si on l'ôte sans le couvercle, on sera brûlé. Après la fumigation, on mettra en pessaire la scille, comme il est écrit plus bas, et on l'appliquera jusqu'à ce que la femme dise que l'orifice est mou et large.

108. (*Ulcération utérine; pessaire pour la guérir.*) Si la partie s'ulcère, et qu'il se forme des phlyctènes dans la mondification, au cas où l'extrémité des lèvres est ulcérée, prenez anis et graisse d'oie, broyez dans de l'huile de rose, roulez dans de la laine, coupez un morceau de viande de bœuf plus gros que le gros orteil, et long de six doigts, frottez-le avec cette préparation, enveloppez-le dans la laine, épongez la préparation, attachez avec un fil le bout de la viande qui doit être dehors, et mettez-en l'extrémité mince jusque dans les matrices, là où siége l'ulcération.

109. (*Pessaires mondificatifs, c'est-à-dire propres à provoquer l'éruption des règles ou à faciliter la conception.*) Mondificatifs féminins : si les règles ne marchent pas, prenez trois oboles

Ald. – παχυτέρου Q'. – τοῦ (τοῦ om. vulg.) ποδὸς CDHIJKQ'. – καὶ μῆκος δέκα δακτύλων C. — [11] χρήσας I. – περιελλ. C. – ἐρίω C. – ἀνασπογγήσας C. – ῇ C, Vaticana exempl. ap. Foes, Lind. – ᾗ om. vulg. — [12] γυναικείων Lind. – σικύην C. – ἐντεριόνην H. – ἐν εἰρίω DFGHIJKQ', Lind. – ἔρριον C. – ἐνειλλίξας C. – ἐνειλίξας D.

λιβανωτοῦ ὀβολὸν, τρίψας, ἐν μέλιτι μίξας, ἐς εἰρίον ἐνελίξας, πρόσθες πρὸς τὸ στόμα τῆς μήτρης, [1]τῆς ἡμέρης πεντάκις τοῦτο ποιῶν. [2]Τὸ ἀμπέλιον τρίβων χλωρὸν ἐν μέλιτι, καὶ ἐς εἰρίον ἐνελίξας, προστιθέναι τὸν αὐτὸν τρόπον. [3]Τῆς κυπαρίσσου τὸν καρπὸν [4]καὶ σικυώνης ἐντεριώνην καὶ λιβανωτὸν τρίψας ἐν τῷ αὐτῷ, ῥοδίνῳ μύρῳ διεὶς καὶ μέλιτι, ἐνελίξας ἐν εἰρίῳ, πρόσθες [5]τὸν αὐτὸν τρόπον. Τῆς κυπαρίσσου τὸν καρπὸν καὶ λιβανωτὸν [6]τρίψας ἐν τῷ αὐτῷ, ῥοδίνῳ μύρῳ διεὶς καὶ μέλιτι, ἐνελίξας ἐν εἰρίῳ, πρόσθες. [7]Ἀβρότονον ὅσον τριώβολον τρίψας ἐν μέλιτι, ἐς εἰρίον ἐνελίξας, προστίθει. [8]Ἐλατηρίου ὀβολὸν καὶ σμύρνης ὀβολὸν τρίψας, καὶ μέλιτι ἐς εἰρίον ἐνελίξας, προστίθει. [9]Ἢν γυνὴ μὴ κυίσκηται, [9]καθαρτήριον· ταύρου οὖρον ξυλλέξαι ὅσον τρεῖς κοτύλας, ἔπειτα λαβὼν ἀρτεμισίην ποίην ἢ παρθένιον ἢ ἀδίαντον καὶ δάφνην χλωρὴν καὶ κέδρου πρίσματα, κόψον λεῖα [10]ἐν ὅλμῳ, εἶτα ῥύξας βόθρον, ἐγκαύσας τε ἄνθρακας, καὶ ἐπιθεὶς χύτραν, ἔγχεον τὸ οὖρον τοῦ ταύρου, καὶ ἔμβαλε τὰ κεκομμένα [11]ἐν τῷ ὅλμῳ· ἔπειτα περιθεὶς δίφρον, ἐπίθες τῆς ἀρτεμισίης ποίης, [12]ἢ ὕσσωπον, ἢ ὀρίγανον· εἶτα ἐπικαθίσας τὴν γυναῖκα, πυρίησον ἕως ἂν ἱδρώσῃ· [13]ὅταν δὲ ἱδρώσῃ, λοῦσαι θερμῷ· ἐς δὲ τὸ λουτρὸν ἐμβαλεῖν τὴν ἀρτεμισίην καὶ δάφνην· εἶτα πρόσθετον [14]ποιῆσαι ἢ ἀρτεμισίην, ἢ βόλβιον ἐν οἴνῳ λευκῷ τρίψας, εἰρίῳ ἐνειλίξας, προστιθέτω· ταῦτα ποιέειν ἐφ' ἡμέρας τρεῖς· [15]εἶτα κοιμάσθω παρὰ ἀνδρί. Προσθετὸν [16]κυητήριον· ἐκ νίτρου καὶ λιβανωτοῦ βάλανον ποιήσας ἐν μέλιτι πρόσθες. Προσθετὸν καθαρτήριον μαλθακτικόν·

1. Νόμος μὲν πάντα κρατύνει· ἡ δὲ γονὴ τοῦ ἀνδρὸς ἔρχεται ἀπὸ παντὸς τοῦ [1]ὑγροῦ τοῦ ἐν τῷ σώματι ἐόντος τὸ ἰσχυρότατον ἀποκριθέν· τούτου δὲ ἱστόριον τόδε, ὅτι ἀποκρίνεται τὸ ἰσχυρότατον, ὅτι ἐπὴν λαγνεύσωμεν σμικρὸν οὕτω μεθέντες, ἀσθενέες γινόμεθα. Ἔχει δὲ οὕτω· φλέβες καὶ νεῦρα ἀπὸ παντὸς τοῦ σώματος τείνουσιν ἐς τὸ αἰδοῖον, [2]οἷσιν ὑποτριβομένοισι καὶ θερμαινομένοισι καὶ πληρευμένοισιν ὥσπερ κνησμὸς ἐμπίπτει καὶ τῷ σώματι παντὶ ἡδονὴ καὶ θέρμη ἐκ τούτου παραγίνεται· τριβομένου δὲ τοῦ αἰδοίου καὶ τοῦ ἀνθρώπου κινευμένου, τὸ ὑγρὸν θερμαίνεται ἐν τῷ σώματι καὶ διαχέεται καὶ κλονέεται ὑπὸ τῆς [3]κινήσιος καὶ ἀφρέει, καθάπερ καὶ τἆλλα ὑγρὰ ξύμπαντα κλονεύμενα ἀφρέει· οὕτω δὲ κἂν τῷ ἀνθρώπῳ ἀποκρίνεται ἀπὸ τοῦ ὑγροῦ ἀφρέοντος τὸ ἰσχυρότατον [4]καὶ πιότατον, καὶ ἔρχεται εἰς τὸν νωτιαῖον μυελόν· τείνουσι [5]γὰρ ἐς τοῦτον ἐκ παντὸς τοῦ σώματος, καὶ διαχέει ἐκ τοῦ ἐγκεφάλου εἰς τὴν ὀσφὺν καὶ ἐς πᾶν τὸ σῶμα καὶ [6]ἐς τὸν μυελὸν, καὶ ἐξ αὐτοῦ τείνουσιν ὁδοὶ, ὥστε καὶ ἐπιέναι τοῦ ὑγροῦ ἐς αὐτὸν καὶ ἀποχωρέειν. [7]Ἐπὴν δὲ ἔλθῃ ἐς τοῦτον τὸν μυελὸν ἡ γονὴ, χωρέει παρὰ τοὺς νεφρούς· ταύτῃ γὰρ [8]ἡ ὁδός ἐστι διὰ φλεβῶν, κἦν οἱ νεφροὶ ἑλκωθῶσιν, ἔστιν ὅτε καὶ αἷμα ξυμφέρεται· παρὰ δὲ τῶν νεφρῶν ἔρχεται διὰ τῶν ὀρχίων [9]μεσάτων ἐς τὸ αἰδοῖον· καὶ χωρέει οὐχ ὅπη τὸ οὖρον, ἀλλά οἱ ἄλλη ὁδός ἐστιν αὐτῆς ἐχομένη. Καὶ οἱ ἐξονειρώσσοντες διὰ τάδε ἐξονειρώσσουσιν· [10]ἐπὴν τὸ ὑγρὸν ἐν τῷ σώματι διακεχυμένον ἔῃ καὶ διάθερμον, εἴτε ὑπὸ ταλαιπωρίης, εἴτε [11]καὶ ὑπὸ ἄλλου τινὸς, ἀφρέει· καὶ ἀποκρινο-

[1] Ὑγιέος CFG (HK, emend. al. manu) IJLδ, Zwing. in marg. – τοῦ om. XP′ ε. – τοῦτο pro τούτου ε. – ἐπὰν HP′. – μικρὸν GX. — [2] ἧσιν ὑποτριβομένησι καὶ θερμαινομένησι καὶ πληρευμένησιν CEHKOε. – ἡδόνης θέρμη ε. — [3] κινήσηος C. – καθάπερ καὶ τ. ὑ. ξ. κλ. ἀ. om. G. – ξύμπ. C, Lind. – σύμπ. vulg. – κλονεύμενα om. C. – δὴ pro δὲ HO. – καὶ ἐν pro κἂν C. — [4] καὶ τὸ π. vulg. – τὸ om. EIKOε. — [5] γὰρ om. ε. – Post γὰρ addit καὶ C. – Post γὰρ addunt [ὁδοὶ] Lind., Mack. – διαχεῖται E (H, al. manu) Kε. – διαχωρέει O.

DE LA GÉNÉRATION.

DE LA NATURE DE L'ENFANT.

DES MALADIES, LIVRE QUATRIÈME.

1. (*Le sperme vient de tout l'humide du corps. Connaissance des canaux éjaculateurs. Notion des maladies causées par les pertes séminales.*) La loi gouverne tout. Le sperme de l'homme vient de tout l'humide qui est dans le corps, et c'en est la partie la plus active qui se sépare. En voici la preuve : après le coït, l'évacuation d'une si petite quantité nous rend faibles. La disposition est telle : des veines et des nerfs vont de tout le corps aux parties génitales; frottées, échauffées et remplies, il survient comme une démangeaison, d'où, pour tout le corps, plaisir et chaleur. Dans le frottement des génitoires et dans le mouvement qu'on se donne, l'humide s'échauffe dans le corps, se dilate, s'agite par le mouvement et devient écumeux, comme tous les liquides deviennent écumeux par l'agitation. De cette façon, dans l'homme, se sépare, de l'humide devenu écumeux, la partie la plus active et la plus grasse, qui va dans la moelle dorsale; en effet, des afférents y arrivent de tout le corps, et le cerveau verse dans les lombes, dans tout le corps et dans la moelle, qui, à son tour, est munie d'efférents, de sorte que le liquide y afflue et en sort. Le sperme, une fois arrivé dans cette moelle, passe le long des reins; car là est la voie par les veines; et, en cas d'ulcération des reins, il advient parfois que du sang est évacué en même temps. Des reins, il se rend par le milieu des testicules au membre génital, non par la voie de l'urine, mais par une autre voie particulière (*conduits éjaculateurs*) qui est attenante. Quant aux pollutions nocturnes, elles

— [6] ἐς om. GHIJKε. – τοῦ ὑγροῦ om. C. — [7] ἐπεὶ C. — [8] ἡ om. ε. — [9] μ. om. X. – μασάτων Ald. – μέσα τῶν Oε. – ἄλλη om. Oε. – ἐχομένης Ald. – ἐξονειρώττ. (bis) EHJK. – ἐξονειρώσοντες C. — [10] ἐπὴν C. – ἐπὰν vulg. — [11] καὶ C. – καὶ om. vulg.

μένου ἀπ' αὐτοῦ δρᾷν παρίσταται [1]οἷάπερ ἐν τῇ λαγνείῃ· ἔχει γὰρ τὸ ὑγρὸν τοῦτο ὅπερ λαγνεύοντι· ἀλλ' οὔ μοι περὶ [2]ὀνειρωσσόντων καὶ παντὸς τοῦ νοσήματος τί ἐστι, καὶ ὁκόσα ἐργάζεται, καὶ διότι πρὸ λαγνείης. Καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἰρέαται.

2. Οἱ δὲ εὐνοῦχοι διὰ [3]ταῦτα οὐ λαγνεύουσιν, ὅτι σφέων ἡ δίοδος ἀμαλδύνεται τῆς γονῆς· ἔστι [4]γὰρ δι' αὐτῶν τῶν ὀρχίων ἡ ὁδός· καὶ νεῦρα τείνει λεπτὰ καὶ πυκνὰ [5]ἐς τὸ αἰδοῖον ἐκ τῶν ὀρχίων, οἷσιν ἀείρεται καὶ καθίεται, καὶ ταῦτα ἐν τῇ τομῇ ἀποτέμνεται, [6]διὸ οὐχ ὑπάρχουσιν οἱ εὐνοῦχοι χρηστοί· τῶν δὲ τάδε ἐκτριβέντων ἡ ὁδὸς τῆς γονῆς ἐμπέφρακται· πωροῦνται γὰρ οἱ ὄρχιες· καὶ τὰ νεῦρα σκληρὰ καὶ μωρὰ γενόμενα ὑπὸ τοῦ πώρου οὐ δύναται τείνειν καὶ χαλᾶν. Ὁκόσοι δὲ παρ' οὓς τετμημένοι εἰσίν, οὗτοι λαγνεύουσι μὲν καὶ [7]ἀφιᾶσιν, ὀλίγον δὲ καὶ ἀσθενὲς καὶ ἄγονον· χωρέει γὰρ τὸ πλεῖστον τοῦ γόνου ἀπὸ τῆς κεφαλῆς παρὰ [8]τὰ οὔατα ἐς τὸν νωτιαῖον μυελόν· αὕτη δὲ ἡ δίοδος ὑπὸ τῆς τομῆς οὐλῆς γενομένης στερεὴ γέγονεν. Τοῖσι δὲ [9]παισὶ λεπτὰ τὰ φλέβια ἐόντα καὶ πληρευμένα κωλύει τὴν γονὴν ἱέναι, καὶ ὁ κνησμὸς οὐχ ὁμοίως παραγίνεται· διὰ ταῦτα οὐδὲ κλονέεται ἐν τῷ σώματι τὸ ὑγρὸν ἐς ἀπόκρισιν τῆς γονῆς· καὶ τῇσι [10]παρθένοισι, μέχρις ἂν νέαι ἔωσιν, οὐ χωρέει τὰ καταμήνια δι' αἴτιον τοιοῦτό. Ἐπὴν δὲ αὔξωνται καὶ παρθένος καὶ παῖς, αἱ φλέβες αἱ ἐς τὸ αἰδοῖον τείνουσαι τοῦ παιδὸς καὶ τῆς παρθένου [11]ἐπὶ τὰς μήτρας εὖροαι γίνονται ὑπὸ τῆς αὔξης καὶ στομοῦνται, καὶ ὁδὸς καὶ

[1] Οἵη λαγνείη vulg. – οἵη πῶς (sic) ἐν τῇ λαγνείῃ Q'. – οἵη περ ἐν τῇ λαγνείῃ E (H, al. manu) KOε. – Je pense qu'il faut prendre ἐν τῇ, et lire οἷα au lieu de οἵη. – πάσχει γὰρ αὐτὸ τὸ ὑγρὸν τοῦτο EKP'. – πάσχει γὰρ οὕτω τὸ ὑγρὸν τοῦτο in marg. al. manu H. – πάσχει Zwing. in marg. – ἕξεισι pro ἔχει Lind. – ἐξίει pro ἔχει Mack. – τούτῳ pro τοῦτο Mack. – τοιοῦτον pro τοῦτο C. – ὥσπερ pro ὅπερ Lind., Mack. — [2] ὀνειρωττ. H. – ὀνειράτων C. – ἔτι pro τι CEFHIJKLOε. – μανίης pro λαγνείης CGIJL. – πρὸ λαγνείης signifie, je pense, *avant l'époque du coït* (Foes traduit : *en place du coït*). Cependant j'ai hésité devant la leçon πρὸ μανίης : *avant que la folie se déclare*. On sait dans quel état nerveux, hypocondrie, trouble, découragement, jettent parfois les pertes séminales; et il ne serait pas impossible qu'un tel état eût été désigné par le mot de μανίη. — [3] τάδε CEFHIJKOε. — [4] γὰρ om. C. – δ' pro δι' C. — [5] ἐς C. – εἰς vulg. – ταῦτ' C. — [6] διότι (διὸ C) καὶ (καὶ om. EK) οὐχ vulg. – ἐκτριβεόντων (sic) E (H, al. manu supra lin.). – γενόμενα C. – γινόμενα vulg. – δύνανται CHε. — [7] ἀφιᾶσιν C., Lind., Mack. – ἀφίασιν vulg. – τὸ om. ε. – τοῦ γόνου om. C. — [8] τὰ om. (H, restit. al. manu) J. – ἐς H. – εἰς vulg. — [9] παισὶ C. – παιδίοισι vulg. – φλεβία C. –

se produisent ainsi : l'humide du corps étant dilaté et échauffé, soit par la fatigue, soit par toute autre cause, devient écumeux ; l'excrétion s'en faisant, on a des visions comme dans le coït, car ce liquide se comporte comme dans l'acte de la génération ; mais je n'ai pas à parler des pollutions nocturnes, ni de toute cette maladie, ni à dire ce qu'elle est, quels effets elle produit, ni pourquoi elle survient avant l'époque du coït. Voilà sur ce point ce qu'ici j'ai à dire (IIe Livre des Mal., § 51.).

2. (*Exemples des eunuques, des gens ayant subi des incisions derrière les oreilles, et des enfants, cas où le sperme ne peut cheminer.*) Les eunuques n'ont pas le coït, parce que chez eux la voie du sperme est détruite ; en effet, cette voie est par les testicules mêmes, et, des testicules, il part, se rendant au membre génital, des nerfs minces et nombreux, qui le dressent et l'abaissent, et qui sont coupés dans la castration, ce qui fait que les eunuques sont impuissants. Ces nerfs étant froissés, la voie du sperme est interrompue ; car les testicules s'obstruent ; et les nerfs, étant devenus durs et inertes par l'obstruction, ne peuvent tendre et relâcher. Ceux qui ont subi des incisions à côté des oreilles usent, il est vrai, du coït, et éjaculent, mais leur éjaculation est peu abondante, inactive et inféconde ; car la plus grande partie du sperme descend de la tête, le long des oreilles, à la moelle épinière ; or, cette voie est fermée par la cicatrice qui suit l'incision (Des Eaux, des Airs et des Lieux, § 22). Chez les enfants, les veines, étant ténues et remplies, empêchent le sperme de cheminer, et le prurit ne se fait pas non plus sentir ; aussi l'humide du corps ne s'agite pas pour l'excrétion du sperme. Par la même cause, chez les filles, tant qu'elles sont jeunes, les règles ne viennent pas. Mais, quand garçon et fille grandissent, les veines allant à la verge du garçon et aux matrices de la fille deviennent coulantes par la

φλεβία (sic) IJ. — [10] παρθένησι HJKO. – ναῖαι ε. – ἐῶσιν C, Frob., Zwing., Lind. – τωὐτὸ C. – τὸ αὐτὸ vulg. — [11] καὶ ἐπὶ vulg. – καὶ om. CEHKOXε. – εὕροα C. – εὕροοι Lind. – εὑρεῖαι Mack ex Martino. – Linden écrit partout γιγ dans le verbe γίνεσθαι et ses composés.

δίοδος διὰ στενῶν γίνεται, [1]καὶ τὸ ὑγρὸν κλόνησιν τότε ἴσχει, εὐρυχωρίη γάρ οἱ τότε γίνεται ἔνθα κλονήσεται· καὶ τῷ παιδὶ [2]χωρέει, ἐπὴν ἁδρὸς ἔῃ, διὰ τόδε, καὶ τῇ παρθένῳ τὰ καταμήνια. Ταῦτα δέ μοι οὕτως ἀποπέφανται.

3. Τὴν δὲ γονὴν φημι ἀποκρίνεσθαι ἀπὸ παντὸς τοῦ σώματος, [3]καὶ ἀπὸ τῶν στερεῶν καὶ ἀπὸ τῶν μαλθακῶν, καὶ ἀπὸ τοῦ ὑγροῦ παντὸς τοῦ ἐν τῷ σώματι. Εἰσὶ δὲ τέσσαρες ἰδέαι τοῦ ὑγροῦ, αἷμα, χολή, ὕδωρ καὶ φλέγμα. Τοσαύτας γὰρ ἰδέας ἔχει ξυμφυέας ὁ ἄνθρωπος ἐν ἑωυτῷ, καὶ ἀπὸ τουτέων αἱ νοῦσοι γίνονται· [4]δεδήλωται δέ μοι καὶ περὶ τουτέων, καὶ διότι ἐκ τουτέων αἱ νοῦσοι γίνονται [5]ἢ αἱ ἐκ νούσων διακρίσιες. Καὶ ταῦτα μὲν εἰρέαταί μοι περὶ γονῆς, ὁκόθεν γίνεται καὶ ὅκως καὶ [6]διότι, καὶ οἷσιν οὐ γίνεται ἡ γονὴ [7]καὶ διότι οὐ γίνεται, καὶ περὶ καταμηνίων παρθένων.

4. Τῇσι δὲ γυναιξί [8]φημι ἐν τῇ μίξει τριβομένου τοῦ αἰδοίου καὶ τῶν μητρέων κινευμένων, ὥσπερ [9]κνησμὸν ἐμπίπτειν ἐς αὐτὰς καὶ τῷ ἄλλῳ σώματι ἡδονὴν καὶ θέρμην παρέχειν. Μεθίει δὲ καὶ ἡ γυνὴ ἀπὸ τοῦ σώματος [10]ὁτὲ μὲν ἐς τὰς μήτρας, αἱ δὲ μῆτραι ἰκμαλέαι γίνονται, ὁτὲ δὲ καὶ ἔξω, ἣν χάσκωσιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ. Καὶ ἥδεται, ἐπὴν [11]ἄρξηται μίσγεσθαι, διὰ παντὸς τοῦ χρόνου, μέχρις ἂν αὐτὴν μεθιῇ ὁ ἀνήρ· κἢν μὲν ὀργᾷ ἡ γυνὴ μίσγεσθαι, πρόσθεν τοῦ ἀνδρὸς [12]ἀφίει, καὶ τὸ λοιπὸν οὐκ ἔτι ὁμοίως ἥδεται [13]ἡ γυνή· ἢν δὲ μὴ ὀργᾷ, συντελέει τῷ ἀνδρὶ ἡδομένη· καὶ ἔχει οὕτως ὥσπερ εἴ τις ἐπὶ ὕδωρ ζέον [14]ἕτερον ψυχρὸν ἐπιχέει, παύεται τὸ ὕδωρ ζέον· οὕτω, καὶ ἡ γονὴ πεσοῦσα τοῦ ἀνδρὸς ἐς τὰς μήτρας σβέννυσι τὴν θέρμην καὶ τὴν ἡδονὴν τῆς γυναικός. Ἐξαίσσει δὲ ἡ ἡδονὴ καὶ ἡ

[1] Καὶ.... γίνεται om. C. – κλόνον (H, in marg. al. manu) O. — [2] χωρέη E. – Ante χ. addunt [ἡ γονὴ] Lind., Mack. – ἀνδρὸς C. – ἀνὴρ EFGHIJKLOQ'ε. — [3] καὶ.... μαλθακῶν om. FG (H, restit. al. manu) IJ. – τοῦ ἐν τῷ σώματι om. C. – αἷμά τε καὶ χολὴ καὶ ὕδωρ C. – συμφυέας C. – ξυμφυίας HKOε. – ξυμφύας J. – νοῦσοι C, Lind. – νόσοι vulg. — [4] δεδήλωται δέ μοι καὶ (καὶ om. C) περὶ τουτέων καὶ διότι ἐκ τουτέων καὶ (αἱ pro καὶ Zwing.; οἱ pro καὶ C) νοῦσοι γίνονται CE (H, in marg.) KLQ'ε, Zwing. in marg. – δεδήλωται.... γίνονται om. vulg. — [5] ἢ αἱ om. EKLQ'. – καὶ pro ἢ H. – αἱ om. O. – ἐν νούσων (νουσέων K) διακρίσει EK. – νόσων vulg. – νουσέων LP'Q'. – διακρίσει LP'Q'. – ὁκόθεν τε γίνεται C. — [6] διά τι EHKε. — [7] καὶ om. C. – Ante παρθ. addit καὶ C. — [8] φημὶ E (H, al. manu) KLOQ's, Zwing. in marg. – φημὶ om. vulg. — [9] κνησμὸς J. — [10] ὅτε (bis) C, Zwing., Lind., Mack. — [11] ἄρχηται O. – μίσγεσθαι.... ἡ γυνὴ om. C (H, restit. al. manu). – μεθῇ GHIJKLOε, Ald.

croissance, elles s'ouvrent, un va-et-vient se fait en lieu étroit, et alors l'humide a de l'agitation, car c'est alors que de l'espace lui est donné où s'agiter. Ainsi, lors de la puberté, viennent au garçon le sperme, à la fille les menstrues. Telle est mon explication.

3. (*Complément de l'opinion sur l'origine du sperme, qui est dit provenir aussi bien des parties solides que de l'humide. Il y a dans le corps quatre humeurs : le sang, la bile, l'eau et le phlegme.*) Je dis que le sperme provient de tout le corps, des parties solides comme des parties molles et de tout l'humide qui est dans le corps (*comp.* Des Airs, des Eaux et des Lieux, § 14). Il y a quatre sortes d'humide : le sang, la bile, l'eau et le phlegme. En effet, l'homme a ce nombre d'humeurs innées en lui, humeurs d'où proviennent les maladies. J'ai traité aussi de ces humeurs, pourquoi en naissent les maladies et leurs crises (quatrième Livre des Maladies, § 32). Voilà ce que j'avais à dire sur le sperme, d'où il vient, comment et pourquoi, chez qui il ne vient pas, et pourquoi, aussi bien que les menstrues des jeunes filles.

4. (*Effet des rapports sexuels sur les femmes.*) Chez la femme, les parties génitales étant frottées et les matrices agitées, il y survient comme un prurit, et le reste du corps en reçoit plaisir et chaleur. La femme a aussi une éjaculation fournie par le corps et se faisant tantôt dans les matrices (alors les matrices deviennent humides), tantôt au dehors, quand les matrices sont plus béantes qu'il ne convient. Elle éprouve du plaisir depuis le commencement du coït, durant tout le temps, jusqu'à ce que l'homme la lâche; si elle ressent l'orgasme vénérien, elle éjacule avant l'homme, et n'a plus la même jouissance; si elle ne ressent point d'orgasme, son plaisir cesse avec celui de l'homme. C'est comme si on jetait de l'eau froide sur de l'eau bouillante, l'ébullition cesse aussitôt; de même le sperme,

— [12] ἀφίησιν C. — [13] ἡ CKXε, Ald., Frob., Lind. – ἢ om. vulg. – οὕτω C. — [14] ἕτερον.... ζέον om. G. – ψυχρὸν ὕδωρ vulg. – ὕδωρ om. C, Ald. – τὸ ὕδωρ ζέον C. – ὕδωρ om. vulg. – εἰς C. – Post μήτρας addit τῆς γυναικὸς J.

θέρμη [1] ἅμα τῇ γονῇ πιπτούσῃ ἐς τὰς μήτρας, ἔπειτα λήγει· ὥσπερ εἴ τις ἐπὶ φλόγα οἶνον ἐπιχέει, συμβαίνει πρῶτα μὲν ἐξαίσσειν τὴν φλόγα καὶ αὔξεσθαι δι' ὀλίγου πρὸς τὴν ἐπίχυσιν τοῦ οἴνου, ἔπειτα λήγειν, ὡσαύτως δὲ καὶ τῇ γυναικὶ ἡ θέρμη ἐξαίσσει πρὸς τὴν γονὴν τοῦ ἀνδρὸς, ἔπειτα λήγει. Ἧσσον δὲ πολλῷ ἥδεται ἡ γυνὴ τοῦ ἀνδρὸς ἐν τῇ μίξει, πλείονα δὲ χρόνον [2] ἢ ὁ ἀνήρ· διότι δὲ μᾶλλον ὁ ἀνὴρ ἥδεται, ἀποκρίνεται αὐτῷ ἐξαπίνης ἀπὸ τοῦ ὑγροῦ ἀπὸ ταραχῆς ἰσχυροτέρης ἢ τῇ γυναικί. Ἔχει δὲ [3] καὶ τόδε οὕτω τῇσι γυναιξίν· ἢν μὲν μίσγωνται ἀνδράσι, μᾶλλον ὑγιαίνουσιν· [4] ἢν δὲ μὴ, ἧσσον· ἅμα μὲν [5] γὰρ αἱ μῆτραι ἰκμαλέαι γίνονται ἐν τῇ μίξει καὶ οὐ ξηραὶ, ξηραὶ δὲ ἐοῦσαι μᾶλλον τοῦ καιροῦ συστρέφονται ἰσχυρῶς, συστρεφόμεναι δὲ ἰσχυρῶς πόνον τῷ σώματι παρέχουσιν· ἅμα δὲ ἡ μίξις τὸ αἷμα θερμαίνουσα καὶ ὑγραίνουσα ποιέει ὁδὸν ῥηϊτέρην τοῖσι καταμηνίοισι· τῶν δὲ καταμηνίων μὴ χωρεόντων τὰ σώματα τῶν γυναικῶν ἐπίνοσα [6] γίνεται· διότι δὲ [7] γίνεται ἐπίνοσα, εἰρήσεταί μοι ἐν τῇσι γυναικείῃσι νούσοισιν. Καὶ ταῦτα μέν μοι εἰρέαται ἐς τοῦτο.

5. Ἐπὴν δὲ μιχθῇ ἡ γυνὴ, [8] ἢν μὲν μὴ μέλλῃ λήψεσθαι πρὸς ἑωυτὴν, πρὸς τῷ ἔθει χωρέει ἔξω ἡ γονὴ ἀπ' ἀμφοτέρων, ὁκόταν ἡ γυνὴ ἐθελήσῃ· ἢν δὲ μέλλῃ λήψεσθαι, οὐ χωρέει ἔξω, ἀλλ' ἐμμένει ἐν τῇσι μήτρῃσιν ἡ γονή. Αἱ γὰρ μῆτραι δεξάμεναι καὶ μύσασαι ἔχουσιν ἐν [9] ἑωυτῇσιν, ἅτε εἰλυσπασθέντος τοῦ [10] στόματος ὑπὸ τῆς ἰκμάδος, καὶ μίσγεται ὁμοῦ τό τε [11] ἀπὸ τοῦ ἀνδρὸς ἐλθὸν καὶ [12] τὸ ἀπὸ τῆς γυναικός· καὶ ἢν ἡ γυνὴ τόκων ἔμπειρος ἔῃ καὶ ἐννοήσῃ ὁκόταν ἡ γονὴ μὴ ἐξέλθῃ, ἀλλ' ἐμμείνῃ, εἰδήσει ᾗ ἡμέρῃ ἔλαβεν [13] πρὸς ἑωυτήν.

[1] Ἅτε pro ἅμα O. – πεσούσῃ EHKP'ε, Zwing. in marg. – ἐς H. – εἰς vulg. — [2] ἢ δ, Mercur. ex membr. Vatic., Zwing. – ἢ om. vulg. – δὲ om. ε. – ἴσως ὅτι ἀποκρίνεται Codd. Regg. ap. Mack. — [3] καὶ CGHIOε, Ald. – καὶ om. vulg. – δότε (sic) pro τόδε ε. – οὕτω C. – οὕτως vulg. – τῇσι δὲ γυναιξὶν ε. — [4] εἰ C. — [5] γὰρ C, Zwing., Lind. – γάρ om. vulg. – καὶ οὐ (οὐ om. Zwing., Foes in notis, Lind.; αἱ pro οὐ Mack ex Martino; εἰ pro οὐ ε) ξηραὶ ἐοῦσαι vulg. – La restitution me paraît être : καὶ οὐ ξηραὶ, ξηραὶ δὲ ἐοῦσαι. — [6] γίνεται C. – γίνονται vulg. — [7] γίνεται ἐπίνοσα C. – ἐπίνοσα γίνονται vulg. – τοῦτο C. – τοσοῦτον vulg. — [8] εἰ C. – μὲν δὴ (δὴ om. E) μὴ (μὴ om. H, restit. al. manu, O) vulg. – ὁκ. ἡ γ. ἐθελ. om. X. – ὁκόταν ἂν ἡ C. — [9] ἑωυτοῖσιν O. – εἰλυσπασθέντος Codd. Mss. ap. Foes, Zwing. in marg. – εἰλισπασθέντος HKOε. – ὑλησπασθέντος δ. – συσπασθέντος vulg. – ἐκσπασθέντος J. – σπασθέντος G, Ald. – τὴν μήτραν ἅπασαν ἀμφὶ τὸ σπέρμα συν-

tombant dans les matrices, éteint la chaleur et le plaisir de la femme. Le plaisir et la chaleur jettent un éclat au moment où le sperme tombe dans les matrices, puis tout prend fin. Si sur de la flamme on verse du vin, d'abord la flamme jette un éclat et s'accroît un moment par cette affusion, puis elle s'amortit; de même la chaleur devient plus vive au contact du sperme masculin, pour s'amortir ensuite. La femme a, dans le coït, beaucoup moins de plaisir que l'homme, mais elle en a plus longtemps. Si l'homme jouit plus, c'est que l'excrétion fournie par le liquide s'opère brusquement par l'effet d'un trouble plus grand que chez les femmes. Autre point à considérer pour celles-ci : si elles ont des rapports avec les hommes, leur santé est meilleure; moins bonne si elles n'en ont pas. En effet, d'un côté, dans le coït, les matrices s'humectent et cessent d'être sèches; or, quand elles sont trop sèches, elles se contractent fortement, et cette forte contraction cause de la douleur au corps. D'un autre côté, le coït, échauffant le sang et l'humectant, rend la voie plus facile aux menstrues; or, si les menstrues ne cheminent pas, les femmes deviennent maladives; pourquoi, c'est ce que j'expliquerai dans les maladies féminines. Voilà ce que j'avais à dire là-dessus.

5. (*S'il doit y avoir conception, le sperme, après le coït, ne retombe pas au dehors.*) Après le coït, si la femme ne doit pas concevoir, elle fait d'habitude tomber au dehors, quand elle veut, la semence provenue des deux individus; si, au contraire, elle doit concevoir, la semence ne tombe pas au dehors, mais demeure dans les matrices. En effet, les matrices, ayant reçu et s'étant fermées, la gardent à l'intérieur, l'orifice se serrant vermiculairement par l'effet du liquide; et le mélange s'opère de ce qui provient de l'homme et de ce qui provient de la femme. La femme a-t-elle eu déjà des enfants, et remarque-t-elle quand la semence, ne sortant pas, est restée, alors elle sait le jour où elle a conçu.

εσπασμένην Gal., de Spermate, I. — [10] σώματος Mercur. – σμίγεται O. — [11] ὑπὸ J, Ald., Frob. — [12] τὸ om. ε. – ἔμπυρος Ald. — [13] πρὸς C. – ἐς vulg.

6. Ἔχει δὲ οὕτω καὶ τόδε· ὅτὲ μὲν ἰσχυρότερόν ἐστι τὸ μεθιέμενον ἀπὸ τῆς γυναικὸς, [1]ὅτὲ δὲ ἀσθενέστερον· καὶ τὸ ἀπὸ τοῦ ἀνδρὸς ὡσαύτως· καὶ ἔστι καὶ ἐν τῷ ἀνδρὶ τὸ θῆλυ σπέρμα καὶ τὸ ἄρσεν, καὶ ἐν τῇ γυναικὶ ὁμοίως· ἰσχυρότερον δέ ἐστι τὸ ἄρσεν τοῦ θήλεος· ἀνάγκη [2]γὰρ ἀπὸ ἰσχυροτέρου σπέρματος γίνεσθαι. Ἔχει δὲ καὶ τόδε οὕτω· ἢν μὲν [3]ἀπ' ἀμφοτέρων τὸ σπέρμα ἰσχυρότερον ἔλθῃ, ἄρσεν γίνεται· ἢν δὲ ἀσθενὲς, θῆλυ· [4]ὁκότερον δ' ἂν κρατήσῃ κατὰ πλῆθος, ἐκεῖνο [5]καὶ γίνεται· ἢν γὰρ πολλῷ πλέον τὸ ἀσθενὲς σπέρμα ἢ τοῦ ἰσχυροτέρου, κρατέεται τὸ ἰσχυρὸν καὶ μιχθὲν τῷ ἀσθενεῖ ἐς θῆλυ περιηνέχθη· ἢν δὲ πλέον [6]ἔῃ τὸ ἰσχυρὸν τοῦ ἀσθενέος, κρατηθῇ τε τὸ ἀσθενὲς, ἐς ἄρσεν περιηνέχθη. [7]Ὥσπερ εἴ τις κηρὸν καὶ στέαρ μίξας ὁμοῦ, πλέον ποιήσας τὸ στέαρ, [8]τήξειε πρὸς πυρὶ, μέχρι μὲν ὑγρὸν ἔῃ, οὐ διάδηλον γίνεται τὸ κρατέον· ἐπὴν δὲ παγῇ, τότ' ἐμφανὲς γίνεται, ὅτι κρατέει τὸ στέαρ τοῦ κηροῦ κατὰ πλῆθος· [9]οὕτως ἔχει καὶ τοῦ ἄρσενος καὶ τοῦ θήλεος [10]τῆς γονῆς.

7. Ξυμβάλλεσθαι δὲ παρέχει ὅτι καὶ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρὶ ἔστι γόνος καὶ θήλεος καὶ [11]ἄρσενος τοῖσιν ἐμφανέσι γινομένοισι· πολλαὶ γὰρ γυναῖκες ἤδη ἐθηλυτόκησαν παρ' ἀνδράσιν ἰδίοις, παρὰ δὲ ἑτέρους ἄνδρας ἐλθοῦσαι ἐκουροτόκησαν· καὶ οἱ ἄνδρες [12]οἱ αὐτοὶ κεῖνοι παρ' οἷσιν ἐθηλυτόκεον αἱ γυναῖκες, ἑτέρων γυναικῶν ἐς μίξιν ἀφικόμενοι, ἄρσενα γόνον ἐποίησαν, [13]καὶ οἷσιν ἄρσην γόνος ἐγίνετο, ἐς ἑτέρας γυναῖκας μιχθέντες θῆλυν γόνον ἐποίησαν. Οὗτος ὁ λόγος ἐρέει καὶ τὸν ἄνδρα καὶ τὴν γυναῖκα ἔχειν [14]καὶ θῆλυν γόνον καὶ ἄρσενα· παρὰ μὲν γὰρ τοῖσιν ἐθηλυτόκεον, ἐκρατέετο τὸ ἰσχυρότερον, πλέονος [15]γενομένου τοῦ ἀσθενέος, καὶ ἐγένετο θήλεα· παρὰ δὲ τοῖ-

[1] Ὅτι Ald. — [2] γὰρ C. – οὖν pro γὰρ vulg. – ἀπὸ EP'. – ὑπὸ vulg. — [3] ἐπ' CJ. – ἰσχυρὸν C. – γίνεται τὸ τικτόμενον vulg. – τὸ τικτόμενον om. CX. — [4] ὁκόταν δὲ κρατήσοι ε. – κρατήσει Lind. — [5] καὶ om. CE. – πλεῖον O. – ἢ EKOXε, Mack. – ᾗ om. vulg. – καὶ μιχθὲν τῷ ἀ. om. X. — [6] εἴη GJ. – καὶ ἐς ἄρσεν ε. — [7] ὡς ε. — [8] τήξειε C. – τήκεται vulg. – πυρὶ ε. – πῦρ vulg. – μέχρι K. – μέχρις vulg. — [9] οὕτω δὲ ἔχει C. – ἄρσενος C. – ἄρρενος vulg. — [10] τῆς γονῆς C. – ἡ γονὴ vulg. — [11] ἄρρενος HK. – ἰδίοις om. C. – ἑτέρους ἄνδρας C. – ἑτέροις ἀνδράσιν vulg. — [12] οἱ om. Cε. – ἐθηλοτόκεον J. – ἀφικόμενοι CE (H, al. manu supra lin.) ε. – ἀπερχόμενοι vulg. — [13] καὶ.... ἐποίησαν om. C. – ἄρσην EH. – ἄρσεν vulg. – ἐς H, Lind. – εἰς vulg. – θῆλυ HKOε. – οὗτος L. – οὕτως vulg. — [14] καὶ om. C. – θῆλυ EO. – γὰρ CEHJOε, Ald. – γὰρ om. vulg. – ἐθηλοτόκεον J. – τοῖσιν est ici pour οἷσιν, par archaïsme. — [15] γιν. K. – γενομένης τῆς ἀσθενέος C. – τοῦ τῆς ἀσθενέος FJ. – ἐγένετο C. – ἐγίνετο vulg.

6. (*Explication illusoire sur les conditions qui déterminent le sexe. Analogie prise à une physique grossière.*) Ceci est encore à noter : la semence de la femme est tantôt plus forte, tantôt plus faible; de même pour l'homme. Chez l'homme est la semence femelle et la semence mâle; semblablement chez la femme. La semence mâle est plus forte que la semence femelle. C'est de la plus forte semence que naîtra le produit. Voici ce qui en est : si la semence plus forte vient des deux côtés, le produit est mâle; si la semence plus faible, le produit est femelle. Celle des deux qui l'emporte en quantité prédomine aussi dans le produit : si en effet la semence faible est beaucoup plus abondante que la forte, la forte est vaincue, et, mêlée à la faible, se transforme en femelle; si la forte est plus abondante que la faible, la faible est vaincue et se transforme en mâle. De même si, mêlant ensemble de la cire et de la graisse, et mettant plus de graisse, on fait fondre le mélange au feu, tant qu'il sera liquide, on ne distinguera pas quelle est la substance qui l'emporte; mais, après coagulation, on reconnaît que la graisse est plus abondante que la cire. Il en est ainsi pour la semence mâle et pour la semence femelle.

7. (*Faits qui montrent que chez l'homme est la semence mâle et la semence femelle, aussi bien que chez la femme.*) Des faits apparents permettent de conclure que dans l'homme et dans la femme est semence et mâle et femelle : beaucoup de femmes qui avaient des filles avec leurs maris ont eu des garçons avec d'autres hommes; et les mêmes hommes qui avaient des filles avec ces femmes ont eu des garçons avec d'autres femmes; et, au rebours, des hommes engendrant des garçons ont, avec d'autres femmes, engendré des filles. Ce discours témoigne que l'homme, comme la femme, a la semence femelle et la semence mâle : chez ceux qui engendraient des filles, la plus forte a été vaincue par la surabondance de la plus faible, et le produit fut femelle; chez ceux qui engendraient des garçons, la plus forte l'a emporté, et le produit a été mâle. Le même homme ne fournit pas constamment ni une

σιν ἐκουροτόκεον, [1] ἐκράτεε τὸ ἰσχυρότερον, καὶ ἐγένετο ἄρσενα· χωρέει δὲ οὐκ ἀεὶ [2] τοῦτο ἀπὸ τοῦ αὐτέου ἀνδρὸς ἰσχυρὸν, οὐδὲ ἀσθενὲς ἀεὶ, ἀλλ' ἄλλοτε ἀλλοῖον. Καὶ [3] τῆς γυναικὸς οὕτως ἔχει· ὡς μὴ θαυμάζειν τὰς αὐτὰς γυναῖκας καὶ τοὺς αὐτοὺς ἄνδρας γόνον καὶ ἄρσενα καὶ θῆλυν ποιέειν. Ἔχει δὲ καὶ τοῖσι κτήνεσιν [4] οὕτω τὰ περὶ γονῆς θήλεος καὶ ἄρσενος.

8. Καὶ ἐν [5] αὐτῇφι τῇ γονῇ ἐξέρχεται καὶ τῆς γυναικὸς καὶ τοῦ ἀνδρὸς ἀπὸ παντὸς τοῦ σώματος, καὶ ἀπὸ τῶν ἀσθενέων ἀσθενὴς καὶ ἀπὸ τῶν ἰσχυρῶν ἰσχυρή· καὶ τῷ τέκνῳ οὕτως ἐστὶν ἀνάγκη ἀποδίδοσθαι. [6] Καὶ ὁκόθεν ἂν τοῦ σώματος τοῦ ἀνδρὸς πλέον ἔλθῃ [7] ἐς τὴν γονὴν ἢ τῆς γυναικὸς, [8] κεῖνο κάλλιον ἔοικε τῷ πατρί· ὁκόθεν ἂν δὲ πλέον ἔλθῃ ἀπὸ τῆς γυναικὸς [9] τοῦ σώματος, κεῖνο κάλλιον ἔοικε τῇ μητρί. [10] Ἔστι δὲ οὐκ ἀνυστὸν πάντα τῇ μητρὶ ἐοικέναι, [11] τῷ δὲ πατρὶ μηδὲν, ἢ τὸ ἐναντίον τούτου, [12] οὐδὲ μηδετέρῳ ἐοικέναι μηδέν· ἀλλ' ἀμφοτέροισιν ἀνάγκη τίς ἐστιν ἐοικέναι τινὶ, εἴπερ [13] ἄρα ἀπ' ἀμφοτέρων τῶν σωμάτων τὸ σπέρμα χωρέει ἐς τὸ τέκνον. Ὁκότερος δ' ἂν πλέον ξυμβάληται ἐς τὸ ἐοικέναι [15] καὶ ἀπὸ πλεόνων χωρίων τοῦ σώματος, κείνῳ τὰ πλείονα ἔοικε· καὶ ἔστιν ὅτε θυγάτηρ γενομένη τὰ πλείονα ἔοικε κάλλιον τῷ πατρὶ ἢ τῇ μητρὶ, καὶ κοῦρος γενόμενος ἔστιν [18] ὅτε κάλλιον ἔοικε τῇ μητρὶ ἢ τῷ πατρί. Καὶ ταῦτά μοι καὶ

[1] Ἐκρατέετο τὸ ἀσθενέστερον vulg. – ἐκρατέετο τὸ ἰσχυρὸν C (E, ἀσθενέστερον al. manu) FGH (I, ἰσχυρότερον) JK (L, ἰσχυρώτερον sic aut ἰσχυρὸν) O. – ἐκρατέετο τὸ ἀσθενὲς πλέονος γενομένου τοῦ ἰσχυροῦ καὶ ἐγίνετο ἄρσεν ε. – La concordance de mes mss. à lire ἰσχυρὸν ou ἰσχυρότερον au lieu de ἀσθενέστερον m'engage à recevoir cette leçon; mais alors il faut lire ἐκράτεε. – ἐγένετο E. – ἐγίνετο vulg. — [2] οὕτως pro τοῦτο Martinus ap. Mack. – αὐτοῦ C. – ἰσχυρὸν Kε, Zwing. – ἰσχυρὴ vulg. – ἀλλ' οὐδὲ vulg. – ἀλλ' om. C. – οὐδ' C. – ἀσθενὲς Kε, Zwing. – ἀσθενὴς vulg. – ἐς ἀεὶ vulg. – ἐς om. C, Zwing. – ἀλλοῖον K. – ἀλλοίη vulg. — [3] ἐπὶ τῆς E (H, supra lin.) Kε, Mack. – ἐπὶ γυναικὸς Codd. Regg. ap. Foes. – ὥστε E (H, al. manu) KOε. – θῆλυ E. – ποιέεσθαι ε. – κτήμασιν pro κτήνεσιν Ald., Zwing. in marg. — [4] οὕτω C. – οὕτως vulg. – ἄρσενος C. – ἄῤῥενος vulg. — [5] αὐτῇ (τῇ pro αὐτῇ ε) σφὶ (σφι H) vulg. – αὐτῇφι Zwing. in marg. – ἔρχεται C. — [6] καὶ ὁκόθεν (ὅμου ἂν pro ὁκόθεν P', Zwing. in marg.) ἀπὸ τοῦ (αὐτοῦ pro ἀπὸ τοῦ Ald.) σώματος vulg. – καὶ ὁκόθεν ἂν τοῦ σώματος CEFHJOε. – Il faut lire ὅκου au lieu de ὅμου dans P' et Zwing.; mais ὁκόθεν est bon avec ἂν. – εἰσέλθῃ C. — [7] ἐς.... ἔλθῃ om. ε. – ἀπὸ τῆς γυναικὸς pro ἐς τὴν γονὴν ἢ τ. γ. O. — [8] Ante κεῖνο addit τὸ τέκνον vulg. – κεῖνο.... γυναικὸς om. (H, restit. al. manu) O. – ἐκεῖνο CEKP'. – Il faut supprimer τὸ τέκνον, comme on le voit par la phrase parallèle suivante, où même des correcteurs ont voulu ajou-

semence forte ni une semence faible, mais il y a de perpétuelles variations. Il en est de même de la femme. On ne s'étonnera donc pas que les mêmes femmes et les mêmes hommes engendrent et des garçons et des filles. La génération des mâles et des femelles se comporte semblablement chez les bêtes.

8. (*Explication illusoire des ressemblances entre l'enfant et les parents. L'auteur argué de ces ressemblances comme prouvant aussi que les deux semences sont aussi bien dans l'homme que dans la femme.*) Dans la semence même et de la femme et de l'homme, tout le corps fournit; elle vient faible des parties faibles, et forte des parties fortes (Des Airs, des Eaux et des Lieux, § 14). Nécessairement l'enfant y correspond. Quelle que soit la partie où il vient dans la semence plus du côté de l'homme que de la femme, cette partie ressemble davantage au père; quelle que soit la partie où il vient plus du côté de la femme, cette partie ressemble davantage à la mère. Il est impossible que tout ressemble à la mère et rien au père, ou tout au père et rien à la mère, ou rien ni à l'un ni à l'autre. Mais nécessairement l'enfant ressemble à l'un et à l'autre en quelque chose, s'il est vrai que la semence vient des deux corps à l'enfant. A celui qui contribue le plus et de plus de parties à la ressemblance, l'enfant ressemble le plus. Il arrive parfois que la fille ressemble plus au père qu'à la mère, et le garçon plus à la mère qu'au père. Telles sont mes preuves à l'appui de ce que j'ai précédemment avancé, savoir qu'il est,

ter τὸ τέκνον. Ici τὸ τέκνον est dû à une correction intempestive. – ἂν οιω. vulg. – Il faut ἂν comme plus haut. — [9] μηδετέρω κεῖνο τὸ τέκνον τοῦ σώματος pro τοῦ σώματος κεῖνο EKOε. – τοῦ σώματος ponitur post κεῖνο CFG (H, cum τὸ τέκνον al. manu post κεῖνο) J, Ald. — [10] ὅτι pro ἔστι G, Ald. — [11] ἐν αὐτῷ δὲ πατρὶ FG. – μηθὲν C. – οὐδὲ pro ἢ CEHKOQ'ε, Zwing. in marg. – τοὐναντίον O. — [12] οὐδὲ μηδετέρω CEHKP'Q'ε. – μηδετέρῳ (οὐδ' ἑτέρῳ Codd. Regg. ap. Foes; οὐδὲ ἑτέρῳ Zwing. in marg.) sine οὐδὲ vulg. — [13] ἄρα E (H, al. manu) KP'Q'ε. – ἄρα om. vulg. – συμβάλληται C, Mack. – ξυμβάλληται H. — [14] καὶ om. C. – πλειόνων (H, al. manu εό) vulg. – ὅτι pro ὅτε ε. – γενημένη (sic) ε. – κατὰ πλείονα P'Q'ε. – κάλλιον om. ε. — [15] ὅτι ε. – ἱστορέκται pro ἐστὶν ἱστορία K. – τῷ προτέρῳ λόγῳ CEFGHJKOε, Ald., Frob., Lind., Mack. – τῶν προτέρων λόγων vulg. – ἔν ἐστι O, Zwing.

τοσαῦτα ἐστὶν ἱστόρια τῷ προτέρῳ λόγῳ, ὅτι ἔνεστι καὶ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρὶ καὶ κουρογονίη καὶ θηλυγονίη.

9. [1]Γίνεται δὲ καὶ τόδε· ἔστιν ὅτε τὰ τέκνα λεπτὰ καὶ ἀσθενέα γίνεται, ἐκ πατρὸς καὶ μητρὸς παχέων τε καὶ ἰσχυρῶν ἐόντων· κἢν μὲν πολλῶν ἤδη [2]γενομένων τῶν παιδίων τοιοῦτον γένηται, δῆλον ὅτι ἐν τῇσι μήτρῃσιν ἐνόσησε τὸ ἔμβρυον, [3]καὶ ἀπὸ τῆς μητρὸς, εἰ τῆς αὔξης αὐτοῦ ἔξω παρῄει, τῶν μητρέων χανουσέων μᾶλλον, καὶ διὰ τοῦτο ἀσθενὲς ἐγένετο· νοσέει δὲ τῶν ζώων ἕκαστον κατὰ τὴν ἰσχὺν ἑωυτοῦ. Ἢν δὲ πάντα τὰ [4]γενόμενα παιδία ἀσθενέα ἔῃ, αἱ μῆτραι αἰτιαί εἰσι, στενότεραι ἐοῦσαι τοῦ καιροῦ· ἢν γὰρ μὴ ἔχῃ εὐρυχωρίην ἔνθα τὸ ἔμβρυον [5]θρέψεται, ἀνάγκη ἐστὶν αὐτὸ λεπτὸν γενέσθαι, ἅτε οὐκ ἔχον τῇ αὔξῃ τὴν αὐτὴν εὐρυχωρίην· [6]ἢν δὲ ἔχῃ εὐρυχωρίην καὶ μὴ νοσήσῃ, ἐπιεικές ἐστι μεγάλων τοκέων μέγα τέκνον γενέσθαι. Ἔχει δὲ οὕτως, ὥσπερ εἴ τις [7]σίκυον ἤδη ἀπηνθηκότα, ἐόντα δὲ νεογνὸν καὶ προσεόντα τῷ σικυηλάτῳ, θείη ἐς ἀρυστῆρα, ἔσται τοῦ ἀρυστῆρος τῷ κοίλῳ [8]ἴσος καὶ ὅμοιος: ἢν δέ τις ἐς ἄγγος θῇ μέγα, [9]ὅ τι ἐπιεικές ἐστι σίκυον χαδέειν, ἀλλὰ μὴ πολλῷ κάρτα [10]μέζον τῆς φύσιος τοῦ σικύου, ἴσος ἔσται ὁ σίκυος τοῦ ἄγγεος τῷ κοίλῳ καὶ ὅμοιος· ἐρίζει γὰρ ἐν τῇ αὔξῃ τῷ κοίλῳ τοῦ ἄγγεος. Σχεδὸν δὲ [11]εἰπεῖν καὶ πάντα τὰ φυόμενα οὕτως ἔχει, ὅκως ἄν τις καταναγκάσῃ αὐτά. Οὕτω [12]δὴ καὶ τῷ παιδίῳ, ἢν μὲν εὐρυχωρίη οἱ ἔῃ ἐν τῇ αὔξῃ, μέζον γίνεται· ἢν δὲ στενοχωρίη, ἔλασσον.

[1] Τείνεται C. — [2] γιν. K. – ἔν τι τοιοῦτον L. – τοιούτων F. – τοιοῦτο in textu, τοιούτων in marg. Zwing. – Dans H il y a à la marge, d'une autre main, τοιουτέων, qu'un renvoi rapporte à αὔξης, mais qui doit être une variante pour τοιοῦτον. – τὸ om. EK. – ἔμβριον C. — [3] καί τι Lind., Mack. – Ante ἀπὸ addit τὸ L. – μήτρας legunt Calvus, Cornar., Gorr. – ἢ vulg. (τι pro ἢ Codd. Regg. ap. Foes, Zwing. in marg.). – Je lis εἰ au lieu de ἢ; τι indiqué par Foes comme étant dans les mss. royaux et que je n'ai pas retrouvé, τι mis après καὶ par Linden et Mack, et τὸ mis devant ἀπὸ par L, sont des essais de correction auxquels je préfère εἰ en place de ἢ. Cependant le véritable texte reste toujours incertain. – τροφῆς pro αὔξης Oε. – ἔξω αὐτοῦ C. – παρεῖη Gε, Ald. – χαυγουσέων (sic) EP'. – χανουσίων (sic) K. – ἐγίνετο ε. – τῶν ζώων Codd. omnes, Ald., Zwing., Lind., Mack. – τῶν om. vulg. — [4] γεννώμενα (H, al. manu) K. – εἴη E. – στενώτεραι H. – Voy. sur ce mot la note 18, t. III, p. 502. — [5] θρέψεται C. – τραφεῖη vulg. – αὐτὸ om. C. – γίνεσθαι CEP'Q'. – Post γ. addit τὸ ἔμβρυον C. – αὐξήσει EKε. – τὴν αὐτὴν E (H, in marg. al. manu) Kε. – τὴν αὐτὴν om. vulg. — [6] ἢν δὲ ἔ. εὐρ. om. O. – ἔχει Ald., Zwing. – γονέων C. – γενέσθαι CH, Zwing. in marg. –

tant dans la femme que dans l'homme, et procréation mâle et procréation femelle.

9 (*Si de parents vigoureux naissent des enfants faibles, cela tient à l'étroitesse de la matrice. Comparaison du fœtus avec une courge qu'on mettrait, après s'être nouée, dans un vase : le fœtus se modèle sur la matrice, comme la courge sur le récipient.*) Il arrive encore ceci : parfois des enfants naissent minces et faibles de parents vigoureux et en bon point; si c'est après plusieurs autres enfants, manifestement le fœtus a été malade dans les matrices, et il l'a été par la mère, si une portion de la nutrition a passé au dehors, les matrices étant plus béantes qu'il ne faut, ce qui l'a rendu faible; tout animal est malade en proportion de sa force. Si tous les enfants qui naissent sont faibles, les matrices en sont cause, étant plus étroites qu'il ne convient; car, si le fœtus n'a pas l'espace où se développer, nécessairement il sera mince, manquant d'une place proportionnée à sa croissance; mais, s'il a de la place, et qu'il n'éprouve pas de maladie, sans doute l'enfant de parents de grande taille sera grand. C'est comme si on mettait dans un vase étroit une courge déjà défleurie, mais formée et tenant à la couche où elle a été produite; elle sera égale et semblable à la cavité du vase; mais, si on la met dans un grand vase, capable de la contenir sans beaucoup dépasser le volume qu'elle doit acquérir, la courge sera égale et semblable à la cavité du vase; car elle rivalise, dans la croissance, avec le récipient où elle est placée, Et en général toutes les productions végétales prennent la forme qu'on leur impose. Il en est de même de l'enfant; s'il

γίνεσθαι vulg. — [7] σίκυον om. ε. – Post ἀρυστ. addit στενὸν Lind. — [8] ἴσος scribunt ante ἔσται CFGIJ (O, ἴσον) ε, Zwing., Lind.; post ἔσται HL, Ald., Mack. – ἴσος om. Frob. – ὅμοιον O. – ἐς C, Frob., Zwing., Lind., Mack. – εἰς vulg. — [9] ὅ τι καὶ vulg. – καὶ om. CEε. – χάδην CEGHIJKO, Ald., (Zwing., in marg. χάδειν). – πολλὴ Jδ. – πολλὰ O. – πολλὸν I. — [10] μέγα EF GHIJKLOP'Q'δε. – φύσης C. – ὁ σίκυος ἴσος ἔσται C. – ἀγγείου EFGJKOP'Q'. – τῷ κοίλῳ om. ε. – ὅμοιον J. — [11] εἰπεῖν C, Zwing. in marg. – εἰπεῖν om. vulg. – καὶ om. O. – καὶ τὰ φ. οὕτω πάντα ἔχει C. – Le ms. ε finit à σχεδὸν δέ. – ὅμως pro ὅκως K. — [12] δὲ C. – ἔχει καὶ vulg. – ἔχει om. FGHJKOδ. – μεῖζον vulg. – μέζαν C.

10. Τὸ δὲ πηρωθὲν ἐν τῇσι μήτρῃσι παιδίον φημὶ αὐτὸ ἢ [1]φλασθὲν πηρωθῆναι τῆς μητρὸς πληγείσης κατὰ τὸ ἔμβρυον, ἢ πεσούσης, ἢ ἄλλου τινὸς βιαίου παθήματος προσγενομένου τῇ μητρί· [2]ἢν δὲ φλασθῇ, ταύτῃ πηροῦται τὸ παιδίον· ἢν δὲ μᾶλλον φλασθῇ τὸ ἔμβρυον, τοῦ ὑμένος ῥαγέντος τοῦ περιέχοντος αὐτὸ, φθείρεται τὸ ἔμβρυον· [3]ἢ ἑτέρῳ τρόπῳ τοιῷδε πηροῦται τὰ παιδία, ἐπὴν ἐν τῇσι μήτρῃσι κατὰ τὸ χωρίον καθ' ὅ τι καὶ ἐπηρώθη στενὸν ἔῃ, ἀνάγκη ἐν στενῷ κινευμένου τοῦ σώματος [4]πηροῦσθαι κατ' ἐκεῖνο τὸ χωρίον· ὥσπερ καὶ τῶν δένδρων ἄσσα ἐν τῇ γῇ ἐόντα μὴ [5]ἔχει εὐρυχωρίην, ἀλλ' ὑπὸ λίθου ἢ ὑπό τευ ἄλλου ἀπολήφθῃ, ἀνατέλλον σκολιὸν γίνεται, ἢ τῇ μὲν παχὺ, τῇ δὲ λεπτόν· [6]οὕτω δὴ ἔχει καὶ τὸ παιδίον, ἢν ἐν τῇσι μήτρῃσι κατά τι τοῦ σώματος στενότερον ἔῃ [7]τὸ ἕτερον τοῦ ἑτέρου.

11. Ὅτι [8]δὲ, πεπηρωμένων ἀνθρώπων, ὑγιέα γίνονται τὰ παιδία, ὡς ἐπὶ τὸ πλεῖστον συμβαίνει· [9]ἔχει γὰρ τὸν ἀριθμὸν πάντα τὸ πεπηρωμένον τῷ ὑγιεῖ· ἐπὴν [10]δέ τί οἱ νόσημα προσπέσῃ καὶ τοῦ ὑγροῦ αὐτοῦ, ἀφ' οὗ τὸ σπέρμα γίνεται, τέσσαρες ἰδέαι [11]ἐοῦσαι, ὁκόσαι ἐν φύσει ὑπῆρξαν, τὴν γονὴν οὐχ ὅλην παρέχουσιν, ἀσθενέστερον δὲ [12]τὸ κατὰ τὸ πεπηρωμένον, οὐ θαῦμα [13]δέ μοι δοκέει εἶναι καὶ πηρωθῆναι, καθάπερ ὁ τοκεύς. Ταῦτα δέ μοι ἐς τοῦτο εἰρέαται· ἀναβήσομαι δ' αὖθις [14]ὀπίσω ἐς τὸν λόγον ὃν ἔλεγον.

[1] Θλ. pro φλ. (ubique, EFGHIJO) LP'Q', Zwing. in marg. – βιαίου om. C. — [2] ᾗ Zwing. in marg., Kühn. — [3] ἢ Frob. – τὰ E (H, al. manu) L, Lind., Mack. – τὰ om. vulg. — [4] πειροῦσθαι C. – ἄττα O. – ὅσα C. — [5] ἔχει CJ. – ἔχῃ vulg. – τευ C. – τινος vulg. – πῇ μὲν.... πῇ δὲ EHK, Zwing. in marg., Lind. — [6] οὕτω δὲ (δὴ EFGHJQ', Lind., Mack) καὶ (κἂν EFGHJKLO, Zwing. in marg.) τῷ παιδίῳ γίνεσθαι vulg. – οὕτω δὲ ἔχει καὶ τὸ παιδίον C. – τοῖσι μήτρησι FG. – τοῦ om. FG. – στενώτερον EHK. – Voy. pour ce comparatif t. III. p. 502, n. 18. – ἔῃ C. – εἴη vulg. — [7] τὸ E (H, al. manu) KOP'Q', Lind., Mack. – τὸ om. vulg. – ἑκάτερον pro ἕτερον O. — [8] δὲ CO, Ald., Frob., Mack. – καὶ pro δὲ vulg. – ἐκ πεπηρωμένων (ἐκπεπηρωμένων Lind., Mack) vulg. – ἐκ om. CEFGHIJKO, Ald. – ὑγιαία J. – γίνονται C. – τίκτονται vulg. – τὰ om. EHK. – ἐπὶ τὸ πλεῖστον C. – ἐπιπλεῖστον vulg. — [9] ἔχῃ Ald. — [10] δὲ om. CEFGHIJK, Ald. – οἱ Zwing. – αὐτοῦ K. – αὐτῷ vulg. (H, αὐτοῦ al. manu). – αὐτῶν Codd. Regg. ap. Foes, Zwing. in marg., Lind., Mack. – τὸ (H, al. manu) K, Lind. – τὸ om. vulg. — [11] οὖσαι C. — [12] τὸ καὶ τὸ πεπ. vulg. – τὸ κατὰ τὸ πεπ. IJKLO, Zwing., Lind., Mack – τὸ κατὰ πεπ. FG, Ald. – τὸ καταπεπηρωμένον C. — [13] δὴ HO, Zwing. – εἶναι C, Chartier. – εἶναι om. vulg. – ἐς CH, Lind. – εἰς vulg. — [14] ἐς τὸν ὀπίσω λόγον C, Zwing.

a de la place pour la croissance, il devient plus grand; s'il n'en a pas, il est plus petit.

10. (*Conditions qui déterminent l'estropiement de l'enfant dans la matrice. Comparaison avec les arbres qui, gênés par une pierre, deviennent tortus.*) Quant à l'enfant estropié dans les matrices, je dis qu'il est estropié à la suite d'une contusion, la mère ayant été frappée sur le lieu répondant au fœtus, ou ayant fait une chute, ou ayant essuyé quelque autre violence. Si l'enfant éprouve une contusion, il devient estropié en la partie contuse; si la contusion est plus forte, la membrane qui l'enveloppe se rompt et la femme avorte. Ou bien encore les enfants deviennent estropiés de cette manière-ci : quand dans les matrices il y a étroitesse à la partie où en effet s'est produit l'estropiement, il est inévitable que le corps, se mouvant en lieu étroit, soit estropié en cette partie. C'est ainsi que les arbres qui dans la ter.e n'ont pas assez d'espace, et sont gênés par une pierre ou par toute autre chose, deviennent tortus en grandissant, ou bien gros en un point et petits en un autre. L'enfant en éprouve autant lorsque dans les matrices une portion est relativement trop étroite pour la partie correspondante de l'enfant.

11. (*Remarque sur les enfants de parents estropiés, enfants qui naissent tantôt sains et tantôt estropiés eux-mêmes.*) Quant aux enfants des individus estropiés, ils naissent sains la plupart du temps; en effet, la partie mutilée a exactement la même constitution que la partie saine : mais, s'il survient au parent quelque maladie, et si les quatre espèces naturellement existantes de l'humide qui fournit le sperme, ne donnent pas une génération complète, mais que ce qui vient de la partie estropiée soit plus faible, il ne faut pas s'étonner, ce me semble, si l'enfant est estropié comme le parent. Voilà ce que j'avais à dire là-dessus; je reviens au sujet qui m'occupe.

in marg. – εἰ; vulg. – ὃν ἔλεγον om. C. – Dans C vient après λόγον la première ligne du livre intitulé dans les éditions Περὶ φύσιος παιδίου; mais ce livre même se trouve ailleurs, f. 187.

12. [1]Ἢν ἡ γονὴ μείνῃ ἀπ' ἀμφοῖν ἐν τῇσι μήτρῃσι τῆς γυναικὸς, πρῶτον μὲν μίσγεται ὁμοῦ, ἅτε τῆς γυναικὸς οὐκ ἀτρεμεούσης, καὶ ἀθροίζεται καὶ παχύνεται θερμαινομένη. Ἔπειτα πνεῦμα ἴσχει, [2]ἅτε ἐν θερμῷ ἐοῦσα, ἔπειτα τῆς μητρὸς πνεούσης, ἔπειτα δὲ τοῦ πνεύματος ὅταν πλησθῇ, ὁδὸν [3]οἱ αὐτὸ ἑωυτῷ ἔξω ποιέει [4]κατὰ μέσον τῆς γονῆς, ᾗ τὸ πνεῦμα ἕξεισιν· ὅταν δὲ ὁδὸς γένηται τῷ πνεύματι ἔξω [5]θερμῷ ἐόντι, αὖθις ἕτερον ψυχρὸν εἰσπνέει ἀπὸ τῆς μητρός· καὶ τοῦτο ποιέει διὰ παντὸς τοῦ χρόνου. Θερμαίνεται μὲν γὰρ [6]ἅτε ἐν θερμῷ ἐοῦσα· ψυχρὸν δὲ ἴσχει ἀπὸ τῆς μητρὸς πνεούσης· πάντα δὲ ὁκόσα θερμαίνεται πνεῦμα ἴσχει. Τὸ δὲ πνεῦμα ῥήγνυσι καὶ ποιέει [7]οἱ ὁδὸν αὐτὸ ἑωυτῷ καὶ χωρέει ἔξω· αὐτὸ δὲ τὸ θερμαινόμενον ἕλκει ἐς [8]ἑωυτὸ αὖθις ἕτερον πνεῦμα ψυχρὸν διὰ τῆς ῥαγῆς, ἀφ' οὗ τρέφεται. Τοῦτο δὲ γίνεται καὶ ἐπὶ τῶν ξύλων καὶ ἐπὶ τῶν φύλλων καὶ βρωτῶν καὶ ποτῶν [9]ὁκόσα θερμαίνεται ἰσχυρῶς. Ἐννοῆσαι δὲ παρέξει ξύλα καιόμενα· ἅπαντα μὲν γὰρ [10]τὰ ξύλα ποιήσει τοῦτο, μάλιστα δὲ τὰ ὑπόχλωρα· μεθίησι γὰρ κατὰ τὴν τομὴν [11]πνεῦμα· τὸ δὲ πνεῦμα ὁκόταν ἔξω χωρήσῃ, ἑλίσσεται περὶ τὴν τομήν· καὶ τοῦτο γινόμενον ὁρέομεν ἀεί. Δῆλος οὖν ὁ ἐκλογισμός ἐστι τοῦ πνεύματος, ὅτι ἐν τῷ ξύλῳ [12]ἐὸν θερμὸν ἀντισπᾷ ἕτερον ψυχρὸν, ἀφ' οὗ τρέφεται, [13]ἐς ἑωυτὸ, καὶ ἀπὸ ἑωυτοῦ ἀφίησιν· εἰ μὲν γὰρ μὴ ἀντέσπα, οὐκ ἂν τὸ πνεῦμα εἱλίσσετο ἔξω ἰόν· πᾶν γὰρ [14]τὸ θερμὸν τῷ ψυχρῷ τρέφεται τῷ μετρίῳ· καὶ ὁκόταν διαθερμανθῇ τὸ ὑγρὸν τὸ ἐν τῷ ξύλῳ ἐνεὸν, [15]πνεῦμα γενόμενον χωρέει ἔξω· καὶ τῇδε ἐξιὸν ἔξω τὸ θερμὸν τὸ ἐν τῷ ξύλῳ [16]ἐνεὸν ἀντισπᾷ ἕτερον ψυχρὸν, ἀφ' οὗ τρέφεται. Ποιέει δὲ

[1] C'est ici que commence dans les éditions le traité intitulé Περὶ φύσιος παιδίου, De la Nature de l'enfant. Il suffit de remarquer la finale de l'opuscule intitulé Περὶ γονῆς et la reprise du sujet dans le Περὶ φύσιος παιδίου pour reconnaître immédiatement que ce sont deux parties d'un même tout, indûment séparées. – περὶ φύσιος παιδίου ἤτοι περὶ διαπλάσεως ἀνθρώπου K. – ἂν pro ἢν XP'Q'. – μένῃ π. — [2] ἀτ' Cξ. – ἔπ. τῇ; μ. πν. om. (H, deletum al. manu) KOC. – Post ἔπ. addit δὲ X. – μήτρας EJLP'Q'. – μήτρης δ. – δείκνυσι (Διογένης) ὅτι καὶ τὸ σπέρμα τῶν ζώων πνευματῶδές ἐστι Simplicius, p. 33. C'est de Diogène d'Apollonie qu'il s'agit. — [3] οἱ om. EHKXεπ. – ἑωυτοῦ ε. – ἑωυτῷ om. K. — [4] καὶ κατὰ vulg. – καὶ om. CEHKOXP'επ. – ᾗ E (H, al. manu) KOP'επ. – ᾗ om. vulg. — [5] θερμοῦ ἐόντος ε. – αὖτις ubique ξ. – καὶ τοῦτο ποιέει om. X. – μήτρας JP'. — [6] ἀτ' Cξ. – ἐν τῷ vulg. – τῷ om. Cξ. – δ' C. – μήτρας EJP'. — [7] οἱ om. EHKπ. – ὁδὸν οἱ Cξ. – ἑωυτοῦ EK. – ἕλη pro ἕλκει π. — [8] ἑωυτῷ J. – αὖτις C. – ῥαπῆς (H, in marg. al. manu, et additur ἐστὶ δὲ ῥαγὴ ἡ ἀκμὴ καὶ ἡ ὁρμή) (I, al. manu, erat prius ῥαγῆς) (J, in marg.

12. (*La semence de l'homme et de la femme s'échauffe dans la matrice; échauffée, elle attire et émet du souffle. Comparaison avec le bois vert qui brûle. Ce souffle lui forme, comme au pain qui cuit, une croûte ou membrane.*) Si la semence (*voyez note* 1) venue des deux parents demeure dans les matrices de la femme, d'abord elle se mêle, attendu que la femme n'est pas immobile; elle se condense et s'épaissit en s'échauffant; puis elle a du souffle, et parce qu'elle est en lieu chaud, et parce que la mère respire. Quand elle est remplie de souffle, le souffle se fait à lui-même une voie vers l'extérieur au milieu de la semence, par où il sort. Quand une voie vers l'extérieur a été faite au souffle qui est chaud, un autre souffle froid vient de la mère par inspiration. Et cette alternative dure tout le temps. Il s'échauffe, attendu qu'il est en lieu chaud; il a du froid par la mère qui respire; tout ce qui s'échauffe a du souffle. Le souffle fait éruption, se fraye une route à lui-même, et va au dehors. Alors ce qui est échauffé attire à soi par la fente un autre souffle froid qui le nourrit. Cela arrive et aux bois et aux feuilles, et aux aliments, et aux boissons, à tout ce qui s'échauffe fortement. Le bois qui brûle en donne une bonne idée; car le phénomène se présente sur tous les bois, principalement quand ils sont un peu verts; ils émettent du souffle par la fente; le souffle, en sortant, s'enroule autour de la fente; cela ne manque

τί ἐστὶ ῥαπή; ἀχμὴ, βία, ῥοπή), Zwing. in marg. – ἀχμὴ, ὁρμὴ, βία P'. – ῥοπῆ; Calvus in marg. — [9] Ante ὁκ. addit καὶ G. – δὲ om. π. – παρέχει O. — [10] τὰ E (H, al. manu) KP'επ. – τὰ om. vulg. – Post ξύλα addit καιόμενα (H, al. manu in marg.) KOεπ. – καθίησι FG, Zwing. in marg. – κατίησι (H, al. manu μεθίησι) IJπ. – γὰρ om. Cξ. — [11] Ante πνεῦμα addunt τὸ Oε, Mack. – χωρήση CEHIJKOξ, Lind., Mack. – χωρήσει vulg. – ἑλίσσ. Lind. – ὁρέομεν C (H, al. manu) εξ. – ὁρῶμεν vulg. – ὁρέωμεν Lind. – ἀεὶ om. Cξ. – αἰεὶ Lind., Mack. — [12] τὸ θερμὸν ἐὸν ε. – Post ψυχρὸν addit ἐς ἑωυτὸ ε. – ὑφ' pro ἀφ' CE (H, al. manu) IJKOP'Q'επ. — [13] ἐς ἑωυτὸ E (H, in marg.) KQ'επ. Mack. – ἐς ἑωυτὸ om. vulg. – Ante καὶ addunt ἤπερ E (H, in marg.) KQ'επ. ὑπὸ vulg. – Il faut lire ἀπό. – εἰλίσσετο τὸ πνεῦμα C (ξ, εἰλ.). — [14] τὸ om. EHKπ. — [15] πνεῦμα.... ἐνεὸν om. ε. – γινόμενον J. — [16] ἐνεὸν om. FGJO. – ποιέοι J. – ὅταν δὲ (γὰρ pro δὲ Zwing., Lind., Mack) καίηται, πνεῦμα ἴσχει vulg. – ὅταν καίηται, πνεῦμα γὰρ ἴσχει C. – χωρέει CHξ, Lind., Mack. – χωρεῖ vulg. – ἑλισσόμενον, al. manu εἰλ H.

τοῦτο καὶ φύλλα χλωρὰ, ὅταν καίηται, πνεῦμα γὰρ ἴσχει· ἔπειτα ῥήγνυσι τὸ πνεῦμα καὶ ὁδὸν ποιέεται καὶ χωρέει ἔξω ἑλισσόμενον, χωρέον δὲ ψόφον παρέχει, ᾗ τὴν εἰσπνοὴν [1]ποιέεται· καὶ χέδροπα καὶ σῖτος καὶ ἀκρόδρυα θερμαινόμενα πνεῦμα ἴσχει, καὶ ἔξω [2]ἐξέρχεται ῥαγὴν ποιησάμενον· καὶ ἢν νοτερὰ [3]ἔῃ, πλέον τὸ πνεῦμα ἀφίησι καὶ τὴν ῥαγὴν μέζω ποιέεται. Καὶ τί δεῖ [4]μακρηγορέειν; πάντα γὰρ ὁκόσα θερμαίνεται, πνεῦμα ἀφίησι, καὶ ἕτερον ψυχρὸν κατὰ τοῦτο ἀντισπᾷ, ἀφ' οὗ τρέφεται· καὶ αὗταί μοι ἀνάγκαι [5]προηγμέναι εἰσὶν, ὅτι ἡ γονὴ θερμαινομένη ἐν τῇσι μήτρῃσι πνεῦμα ἴσχει καὶ ἀφίησιν· [6]ἅμα δὲ καὶ ἀπὸ τῆς μητρὸς πνεούσης πνοὴν ἴσχει καὶ ἡ γονή· ὁκόταν γὰρ ἡ [7]μήτηρ ψυχρὸν ἑλκύσῃ ἐς ἑωυτὴν ἀπὸ τοῦ ἠέρος, ἐπαυρίσκεται ἡ γονή· θερμὴ δέ ἐστιν ἅτε [8]δὴ ἐν θερμῷ ἐοῦσα· καὶ τότε δὴ πνεῦμα ἴσχει καὶ ἀφίησι. Καὶ ἡ γονὴ ὑμενοῦται φυσωμένη· περιτέταται γὰρ ἀμφ' αὐτὴν τὸ ἔξωθεν, συνεχὲς γινόμενον, ἅτε γλίσχρον ἐὸν, ὥσπερ ἐπ' ἄρτῳ ὀπτωμένῳ, λεπτὸν [9]ἐξίσταται ἐπιπολῆς ὑμενοειδές· θερμαινόμενος γὰρ καὶ φυσώμενος ὁ ἄρτος αἴρεται· ᾗ δ' ἂν [10]φυσᾶται, κείνῃ τὸ ὑμενοειδὲς γίνεται. Τῇ δὲ γονῇ θερμαινομένῃ καὶ φυσωμένῃ πάσῃ ὑμὴν ἔξωθεν περιγίνεται, κατὰ δὲ [11]τὸ μέσον τῆς γονῆς τῷ πνεύματι ὁδὸς καὶ ἔξω καὶ ἔσω γίνεται διὰ τοῦ ὑμένος· καὶ ταύτῃ τοῦ ὑμένος ἀπέχει τὸ λεπτὸν, καὶ τῆς γονῆς [12]ἐν αὐτοῖσιν ὀλίγιστόν ἐστιν· αὕτη δὲ ἡ ἄλλη γονὴ στρογγύλη ἐστὶν ἐν ὑμένι.

13. Καὶ μὴν ἓξ ἡμέρας μείνασαν ἐν τῇ [13]γαστρὶ γονὴν καὶ ἔξω

[1] Παρέχεται Cξ, Zwing. in marg. — [2] ἔρχεται COξ. – In marg. δι' οὗ τὴν ῥαγὴν ἐκ (sic) H. – ὁρμὴν P'. — [3] εἴη C. – πνέον pro πλέον C. – μείζω ξπ, Zwing. — [4] μακαρηγορεύειν (sic) ε. — [5] προσηγμέναι ξ, Lind., Zwing. in marg. – προηγεύμεναι HKεπ. — [6] καὶ ἅμα δὲ π. – Ante ἅμα addit καὶ J. – εἰσπνεούσης (H, al. manu) ε. – μήτρας EJP'. – ὁπόταν π. — [7] μήτρα EJ. – μήτρη P'Q'. – ἠέρος C (H, al. manu) Kξ, Lind., Mack. – ἀέρος vulg. – καὶ ἡ γονὴ Zwing., Mercur. in marg., Lind. – δ' Cξ. — [8] δὴ om. Eπ. – ὑμαινοῦται ε. – ὑμανοῦται (sic) K. – περιτέτακται vulg., par une faute répétée dans Lind. et dans Kühn. – περὶ pro ἀμφ' Cξ. — [9] ἐφίσταται Cξ. – ἐπιπολλῆς E. – φυσόμενος C. – ὁ ἄρτος CE (H, al. manu in marg.) K (LP'Q', sine ὁ) εξπ. – ὁ ἄρτος om. vulg. – Ante αἴρεται addunt καὶ (τὸ pro καὶ LP'Q') ὑμενοειδὲς EKLP'Q' (ε, ὑμενωδῶς) π. — [10] φυσσᾶται C. – ὑμενοειδὲς C (H, in marg.) Kξπ, Zwing. – ὑμενῶδες vulg. – πᾶσι H. — [11] τὸ om. CHIξ, Ald. – καὶ ἔσω (εἴσω Cξ) καὶ ἔξω C (H, al. manu) Xξπ. — [12] ἐν om. FG. – ὀλιγοστὸν C (E, al. manu γι) (H, al. manu in marg. ἐλάχιστον) JKξπ. – ἐλάχιστον O. — [13] μήτρη Cξ. – γονὴν om. FG (H, restit. al. manu) IJδ. – αὐτὴν pro αὐτὸς Kπ. εἶδον ἐγὼ K. – λιπὰ Ald.

jamais. On conclut donc avec évidence que le souffle chaud qui est dans le bois attire à soi un autre souffle froid qui le nourrit, et qu'il l'émet hors de soi; car, s'il n'exerçait pas une contre-attraction, le souffle ne s'enroulerait pas en sortant. En effet, tout ce qui est chaud se nourrit par un froid modéré; et, quand l'humide qui est dans le bois s'est échauffé, il devient souffle et va au dehors. Le chaud qui est dans le bois, sortant par là, attire en sens inverse un autre froid qui le nourrit. Cela se voit aussi sur les feuilles vertes quand on les brûle; en effet, elles ont du souffle; ce souffle fait éruption, se fraye une voie et sort en s'enroulant; dans sa sortie, il fait du bruit là par où est l'inspiration. Les légumes, le blé, les fruits, échauffés, ont aussi du souffle qui sort au dehors en produisant une fissure. Si ces substances sont humides, le souffle émis est plus abondant, et la fissure produite est plus grande. Mais pourquoi allonger mon discours? Tout ce qui s'échauffe émet du souffle, et attire en sens inverse par le même endroit un autre souffle froid qui est l'aliment. Telles sont les raisons nécessaires que j'avance pour montrer que la semence échauffée dans les matrices a du souffle et en émet. En même temps elle a de la respiration par la mère qui respire. En effet, quand la mère a attiré en soi du froid de l'air, la semence en use; or, elle est chaude, vu qu'elle est en lieu chaud; alors elle a et émet du souffle. La semence, ainsi soufflée, s'entoure d'une membrane; autour d'elle s'étend la partie extérieure, qui est continue, à cause de sa viscosité. C'est ainsi que sur le pain cuit s'étend une mince superficie membraneuse; car le pain, chauffé et empli de souffle, se soulève; et là où il est soufflé se forme la surface membraneuse. La semence, étant chauffée et emplie de souffle, est enveloppée tout entière d'une membrane extérieure. Au milieu de la semence est une voie pour le souffle, en dedans et en dehors, à travers la membrane. Là, la partie mince de la membrane est éloignée, et très-peu de semence est en cet endroit; tout le reste de la semence est arrondi dans la membrane.

13. (*Chute de la muqueuse utérine; voy. l'*Argument. *L'au-*

πεσοῦσαν αὐτὸς εἶδον· καὶ ὁκοίη μοι ἐφαίνετο ἐν τῇ γνώμῃ τότε, ἀπ' ἐκείνων τὰ λοιπὰ τεκμήρια ποιεῦμαι· ὡς δὲ εἶδον τὴν γονὴν ἑκταίην ἐοῦσαν ἐγὼ διηγήσομαι. Γυναικὸς [1]οἰκείης μουσοεργὸς ἦν πολύτιμος, παρ' ἄνδρας [2]φοιτέουσα, ἣν οὐκ ἔδει λαβεῖν ἐν γαστρὶ, ὅκως μὴ ἀτιμοτέρη ἔῃ· ἠκηκόει δὲ ἡ μουσοεργὸς, ὁκοῖα [3]αἱ γυναῖκες λέγουσι πρὸς ἀλλήλας· ἐπὴν γυνὴ μέλλῃ λήψεσθαι ἐν γαστρὶ, οὐκ ἐξέρχεται ἡ γονὴ, ἀλλ' ἔνδον μένει· ταῦτα ἀκούσασα ξυνῆκε καὶ [4]ἐφύλασσεν αἰεὶ, καί κως ᾔσθετο οὐκ ἐξιοῦσαν τὴν γονὴν, καὶ ἔφρασε τῇ δεσποίνῃ, καὶ ὁ λόγος ἦλθεν ἔως ἐμέ· καὶ ἐγὼ ἀκούσας ἐκελευσάμην αὐτὴν [5]πρὸς πυγὴν πηδῆσαι, καὶ ἑπτάκις ἤδη ἐπεπήδητο, [6]καὶ ἡ γονὴ κατερρύη ἐπὶ τὴν γῆν, καὶ ψόφος ἐγένετο, κἀκείνη δὲ ἰδοῦσα ἐθεῆτο καὶ ἐθαύμασεν. [7]Ὁκοῖον δὲ ἦν ἐγὼ ἐρέω, οἷον εἴ τις ᾠοῦ ὠμοῦ τὸ ἔξω λεπύριον περιέλοι, ἐν [8]δὲ τῷ ἔνδον ὑμένι τὸ ἔνδον ὑγρὸν διαφαίνοιτο· [9]ὁ τρόπος μέν τις ἦν τοιοῦτος ἅλις εἰπεῖν· ἦν [10]δὲ καὶ ἐρυθρὸν καὶ στρογγύλον· ἐν δὲ τῷ ὑμένι ἐφαίνοντο ἐνεοῦσαι ἶνες λευκαὶ καὶ παχεῖαι, εἰλημμέναι ξὺν ἰχῶρι παχέϊ καὶ ἐρυθρῷ, καὶ ἀμφὶ τὸν ὑμένα ἔξωθεν αἱμάλωπες· κατὰ δὲ [11]τὸ μέσον τοῦ ὑμένος ἀπεῖχε λεπτὸν ὅ τί μοι ἐδόκεεν εἶναι ὀμφαλὸς, κἀκείνῳ τὴν πνοὴν καὶ εἴσω καὶ ἔξω ποιέεσθαι τὸ πρῶτον· καὶ ὁ [12]ὀμὴν ἐξ

[1] Ὑδροψ IJ. – πλέονα E. – πλείονα vulg. – ποτῶν EHQ'v, Lind. – εἰς EIJK. — [2] ἐπὴν οὖν vulg. – οὖν om. J. – Excellente correction, donnée par un ms. qui d'ordinaire est fort mauvais. — [3] καὶ om. Mack. – τι (τοι E) ἡ κοιλίη EHv. – ἔχῃ τι K. – ἔχει v. — [4] ἐν LP', Mack. — [5] ἀπὸ (ἀπὸ om. v) τούτων (τουτέων EH) vulg. — [6] ὀλίγῳ K. – ὀλίγον vulg. – τόδε EGIJv, Ald., Lind. – τότε vulg. – ὧδε EHQ'v, Lind. – οὕτως vulg. — [7] καὶ ἐν K. – ὑδροποειδέος IK. — [8] ὑγιείην EH. – ὑγείην vulg. – εἰς I. — [9] ἑωυτὸν v, Frob. – ἀπὸ pro ἐκ EH, Lind., Mack. – αἱ om. FGHIJK, Ald. — [10] καὶ.... ὁμοίην om. K. – διαδίδοσι J. – δίδωσι Ald. — [11] οἷην περ Q'. — [12] ἥτις ἐν τῇ γῇ ἰκμὰς τοιαύτη ἔνεστι pro ἰκμ.... ἐστὶ EFHIJ. — [13] καὶ.... ἐστὶ ponitur post ἕκαστον p. 546, l. 2, G. – καὶ.... ἐστὶ om. JK.

phlegme sont en excès ou en défaut; c'est par le fait des aliments et des boissons, de cette façon : le ventre, étant plein, est pour le corps la source de toute chose; mais, étant vide, il profite aux dépens du corps qui se fond. De plus, il y a quatre autres sources d'où chaque humeur arrive au corps; elles puisent au ventre, et, quand elles sont vides, elles puisent au corps, qui, lui-même, puise au ventre quand le ventre a quelque chose. Ces sources sont pour le sang le cœur, pour le phlegme la tête, pour l'eau la rate, pour la bile la partie qui est au foie. Telles sont les quatre sources de ces humeurs, indépendamment du ventre. De ces sources, les plus creuses sont la tête et la rate; c'est là en effet qu'est le plus d'espace; mais, un peu plus loin, je m'expliquerai mieux là-dessus. Or, voici comment sont les choses : les aliments et les boissons renferment tous du bilieux, de l'aqueux, du sanguin et du phlegmatique, les uns plus, les autres moins. C'est pour cela qu'ils diffèrent les uns des autres, relativement à la santé; je n'en dirai pas plus là-dessus. Quand on a mangé ou bu, le corps attire à soi, hors du ventre, l'humeur dont il a été parlé, et les sources puisent au ventre par les veines, l'humeur semblable attirant la semblable et se distribuant dans le corps. C'est ainsi que dans les végétaux l'humeur semblable prend en terre l'humeur semblable.

34. (*Comparaison entre la terre et le corps humain. Chaque végétal puise dans la terre des substances qui lui sont appropriées; de même chaque humeur du corps puise dans les aliments et les boissons ce qui lui est congénère.*) En effet, la terre a en soi des qualités de toute nature et innombrables. A tout ce qui croît, elle fournit une humeur respectivement semblable, telle que celle qui est d'origine dans le végétal; et chaque végétal puise dans le sol un aliment semblable à lui-même. En effet, le rosier prend à la terre une humeur telle qu'il est lui-même en qualité; l'ail prend à la terre une humeur telle qu'il est lui-même en qualité; en un mot, tous les végétaux prennent à la terre une humeur spéciale; s'il en était autrement, ils ne

[1] οἷόν περ καὶ αὐτὸ δυνάμει ἐστὶ, καὶ τἆλλα πάντα τὰ φυόμενα ἕλκει ἐκ τῆς γῆς καθ' ἑωυτὸ ἕκαστον· εἰ γὰρ μὴ τοῦτο οὕτως εἶχεν, οὐκ ἂν ἐγένετο τὰ φυόμενα ὅμοια τοῖσι σπέρμασιν. Ὅτῳ δὲ τῶν φυομένων ἐν τῇ γῇ ἰκμὰς κατὰ συγγένειαν τοῦ δέοντος πολλῷ [2] πλέων ἐστὶ, νοσέει ἐκεῖνο τὸ φυτόν· ὅτῳ δὲ ἐλάσσων τοῦ καιροῦ, ἐκεῖνο αὐαίνεται. [3] Ἢν δὲ ἐξ ἀρχῆς μὴ ἐνῇ ἰκμὰς τῷ φυτῷ, [3] ἣν ἕλκει κατὰ τὸ συγγενὲς, οὐδ' ἂν βλαστῆσαι δύναιτο· παρέχει δὲ νοηθῆναι [4] ὅτι, εἰ μὴ ἔχει ἰκμάδα κατὰ φύσιν τὸ φυτὸν, οὐ βλαστάνει τὴν ἀρχήν· ἡ γὰρ Ἰωνίη χώρη καὶ ἡ Πελοπόννησος [5] τοῦ ἡλίου καὶ τῶν ὡρέων οὐ κάκιστα κέεται, ὥστε δύνασθαι ἐξαρκέειν τοῖσι φυομένοισι τὸν ἥλιον· ἀλλ' ὅμως οὐ δυνατὸν, πολλῶν ἤδη πειρασαμένων, οὔτε ἐν Ἰωνίῃ οὔτε ἐν Πελοποννήσῳ σίλφιον φῦναι· ἐν δὲ τῇ Λιβύῃ αὐτόματον φύεται· οὐ γάρ ἐστιν [6] οὔτε ἐν Ἰωνίῃ [7] οὔτε ἐν Πελοποννήσῳ ἰκμὰς τοιαύτη, ὥστε τρέφειν αὐτό. Ὅτι δὲ πολλὰ καὶ ἄλλα, ὅσα τοῦ ἡλίου ἐξαρκέοντος αἱ χῶραι οὐ δύνανται τῶν θεραπευμάτων τρέφειν, ἄλλαι δὲ φύουσιν αὐτόμαται, [8] παρέχει καὶ τοῦτο σκέψασθαι ὃ μέλλω ἐρέειν, ὁκόσον χῶρος χώρου κάρτα πλησιάζων διαφέρει ἐς τὴν ἡδυοινίην τοῦ ἡλίου ὁμοίως ἐξαρκέοντος· ἔνθα μὲν γὰρ τῆς γῆς ἰκμάς ἐστιν ἥτις τὸν οἶνον ἡδὺν παρέξει, ἔνθα δὲ οὔ. Ἔστι δὲ καὶ ἄγρια φυόμενα ἐν χωρίῳ οὐκ ὀλίγα, μεταρθέντα [9] δὲ ὁκόσον ὀργυιὴν, οὐκ ἂν εὕροις ἔτι φυόμενα· οὐ γὰρ ἔχει ἡ γῆ μεταρθέντι [10] τοιαύτην ἰκμάδα οἵην τοῖσιν ἀγρίοισι φυτοῖσιν ἐκείνη παρέσχεν. Ἔστι γὰρ [11] αὐτοῖσι τὰ μὲν ἰωδέστερα, τὰ δὲ ὑγρότερα, τὰ δὲ γλυκύτερα, τὰ δὲ ξηρότερα, τὰ δὲ τρηχύτερα, ἄλλα δ' ἄλλως ἔχει μυρία· μυρίαι γὰρ ἐν αὐτῇ δυνάμιές εἰσι, καὶ διὰ ταῦτα τὰ γένεα ἐκ τῆς γῆς πρῶτον οὐδὲν ἕτερον ἑτέρῳ ὅμοιον ἔφυ, [12] ὅ τι μὴ συγγενές. Ἄγρια δέ μοι δο-

[1] Οἷαν E. – τὰ ἄλλα E. – ἐγίνετο GHIJK, Ald., Lind. — [2] πλέον EGJK. — [3] ἣν J. – ξυγγ. Lind. — [4] ὅτι om., restit. al. manu E. – ἣν μὴ ἔχῃ EH. – ἔχοι K. – πελοπόνησος (E, al. manu νν) JK, Ald., Frob. — [5] ὑπὸ τοῦ Mack ex Æm. Porto. – ἡλίου τῶν ὡρέων (ὡραίων E; ὡρέων, al. manu ὡραίων H; οἰρέων sic J; ὀρέων GK) οὐχ ἥκιστα καίεται (addit τῆς λιβύης K) vulg. – ἡλίου καὶ τῶν ὡρέων οὐ κάκιστα κέεται Coray, de A. A. et L., 2, 399, Paris, 1800. – J'adopte cette conjecture de Coray. – ἐξαρκέειν EHν. – ἐξαρκεῖν vulg. – πολλὸν Frob. – πειραζομένων vulg. – πειρασαμένων Coray, ib. – πελοπονήσω JK, Ald., Frob. – φῦσαι vulg. – φῦναι EFHJν, Lind. – φύναι K. – φῆσαι Merc. in marg. — [6] οὔτε om. EH. – ἐν τῇ H. — [7] οὐδὲ H. – πελοπονήσω GJK, Ald., Frob. — [8] Post π. addit δὲ Hν. – καὶ om., restit. al. manu H. – ὅ τι pro ὃ EHν. – Post ὁκόσον addit [ὁκ] Lind. — [9] δ' EH. – ὀργύην J. –

deviendraient pas semblables à leur graine. Le végétal a-t-il dans la terre une quantité beaucoup trop grande de l'humeur qui lui est affine, il devient malade; en a-t-il moins qu'il ne faut, il se dessèche. Si, tout d'abord, il n'avait pas l'humeur qu'il puise et qui lui est affine, il ne pourrait même germer. Voici un exemple qui prouve que le végétal privé de l'humeur qui lui est naturelle ne germe pas : l'Ionie et le Péloponèse ne sont pas assez mal situés, par rapport au soleil et aux saisons, pour que l'astre ne suffise pas à la production des végétaux; cependant, il a été impossible, malgré de nombreux essais, de faire venir dans l'Ionie et le Péloponèse le silphion, qui vient spontanément en Libye; c'est qu'il n'y a ni en Ionie ni dans le Péloponèse une humeur propre à l'alimenter. Il est bien d'autres médicaments qui, malgré la suffisance du soleil, ne peuvent être nourris par certains pays, et qui naissent spontanément en d'autres; ce que je vais dire le démontrera; faites attention combien des localités très-voisines diffèrent entre elles pour la douceur du vin, bien que le soleil y ait la même puissance; c'est qu'ici est dans la terre l'humeur qui rendra doux le vin, et là non. Il est aussi des sauvageons en bon nombre qui, transplantés à la distance d'une orgyie (*orgyie* = 1 mètre,8) seulement de la localité où ils sont, ne viennent plus : le nouveau sol ne fournit pas au végétal transplanté l'humeur que l'ancien sol fournissait au végétal sauvage. En effet, dans ces végétaux, sont des qualités les unes plus vireuses, les autres plus humides, les autres plus douces, les autres plus sèches, les autres plus âpres; et ainsi de suite, mille variétés. Car la terre a mille qualités; c'est en raison de ces spécialités, qu'à l'origine aucun végétal ne fut produit semblable à l'autre, si ce n'est ceux qui étaient de même race. Tous me paraissent être sauvageons; seulement les hommes les ont transformés en végétaux

ὀργίην K. – εὔροις EHK. – εὔρῃς vulg. — [10] τὴν αὐτὴν E. – παρέσχειν Mack. — [11] αὐτῆσι J. – δ' Mack. – ἀλλὰ Mack. – ἄλλα δὲ [καὶ] Lind. – ἄλλα δ' ἄλλως ἔχει μυρία EHv. – ἄλλα δὲ μυρία ἄλλως ἔχει vulg. — [12] ὅ τι H. – ὅτι vulg. – συγγενέες E. – πάντα ταῦτα H.

κέει ταῦτα πάντα εἶναι· ἄνθρωποι δὲ [1]αὐτὰ ἡμέρωσαν ἐργαζόμενοι καρποφορέειν κατὰ τὸ σπέρμα ἕκαστον· ἕλκει γὰρ ἐκ τῆς γῆς ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην, καὶ [2]τούτοισιν αὔξεται καὶ τρέφεται, καὶ οὐδὲν ἕτερον ἑτέρῳ ὅμοιόν ἐστι τῶν φυομένων, οὔτε ἴσην οὔτε ὁμοίην ἐκ τῆς γῆς ἰκμάδα ἕλκον. Ἕλκει δὲ ἕκαστον τῶν φυομένων βρωτῶν τε καὶ ποτῶν [3]ἐς ἑωυτὸ πολλὰς δυνάμιας ἀπὸ τῆς γῆς· ἐν παντὶ δέ ἐστί [4]τι φλεγματώδεος καὶ αἱματώδεος· ἀνάγκην οὖν τῷδε προσηγαγόμην, ὅτι ἀπὸ τῶν βρωμάτων καὶ [5]τῶν ποτῶν ἐς τὴν κοιλίην χωρεόντων ἕλκει τὸ σῶμα κατὰ τὰς πηγὰς ἃς ὠνόμασα, ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην διὰ φλεβῶν.

35. Σημήϊον δὲ ἀποφανέω ἕτερον τόδε, ὅτι ἕλκει [6]ἕκαστον κατὰ τὰ εἰρημένα, καὶ ἅμα φράσω, ὅθεν τὸ φλέγμα γίνεται ἐν τῷ σώματι. Ἐπήν τις φάγῃ τυρὸν ἢ ὅ τι ἐστὶ δριμὺ, ἢ ἄλλο τι φάγῃ ἢ πίῃ ὅ τι ἐστὶ φλεγματῶδες, αὐτίκα οἱ ἐπιθέει ἐπὶ τὸ στόμα καὶ τὰς ῥῖνας, καὶ τοῦτο οὕτως γινόμενον πάντες δρέομεν· τοῦτο δὲ χρὴ ἐλπίσαι, ὅθεν ἐγὼ ἐρέω. Φημὶ δὲ ὁκόσον ἐν τῷ βρώματι [7]ἢ πόματι φλεγματῶδες ἔνι, κείνου ἐς τὴν κοιλίην ἐλθόντος, τὸ μὲν [8]τὸ σῶμα ἕλκει ἐς ἑωυτὸ, τὸ δὲ ἡ κεφαλὴ κοίλη ἐοῦσα καὶ ὥσπερ σικύη ἐπικειμένη ἕλκει τὸ φλέγμα, ἅτε γλίσχρον ἐόν· ἕπεται δὲ [9]τοῦτο τὸ ἕτερον διὰ τοῦ ἑτέρου ἐφτὴν κεφαλήν· τὸ μὲν νέον φλέγμα τὸ [10]γεννώμενον ἐκ τοῦ βρώματος μένει ἐν τῇ κεφαλῇ, τὸ δὲ παλαιὸν, ὁκόσῳ πλεῖον [11]τὸ νέον, ὑπ' ἐκείνου [12]βιώμενον ἐξέρχεται, καὶ διὰ τοῦτο ἐπήν τις φάγῃ ἢ πίῃ ὅ τι φλεγματῶδες, ἀποχρέμπτεται ὁ ἄνθρωπος φλέγμα. Ἔχει δὲ καὶ τόδε οὕτως, ἤν, φαγόντος τι ἢ πιόντος τοῦ ἀνθρώπου ὅ τι ἐστὶ φλεγματῶδες, μὴ ἐξέλθῃ πάλιν ἐν ὅσῳ πλέον ἐγένετο, μήτε κατὰ τὸ

[1] Αὐτὰ EH. – ταῦτα vulg. — [2] τούτω P′, Mack. — [3] ἐν ἑωυτῷ vulg. – Je pense qu'il faut lire ἐς ἑωυτό. Voy. plus bas, l. 17. — [4] καὶ pro τι (E, restit. al. manu) H. – βρωτῶν EHv. — [5] τῶν om. E. – πομάτων J. – αὐτὰς vulg. – καὶ τὰς EFHIJKLP′Q′v. – εἰς αὐτὰς vel κατ' αὐτὰς legendum censet Foes. – ἐς αὐτὰς Mack. – κατὰ τὰς K′. – κατὰ πηγὰς Lind. – C'est κατὰ τὰς qu'il faut lire, ainsi que l'indique la leçon des manuscrits καὶ τὰς, faute qui n'est pas rare pour κατά. — [6] ἕκαστα EP′. – φράσσω E. – ἑωρῶμεν vulg. – ὁρέομεν EHv. — [7] ἢ τῶ π. K. – ἐγῇ vulg. – Lisez ἔνι. — [8] τὸ al. manu J. – τὸ om. vulg. – ἕλκει om., restit. al. manu post ἑωυτὸ E. — [9] τοῦτο EH. – τούτῳ vulg. – δι' ἑτέρου EHv. – τοῦ om. FGI, Ald. – εἰς E. – ὡς pro ἐς J. — [10] ἐγγενώμενον EHP′Q′, Lind., Mack. – ἀπὸ τοῦ βρ. EHKP′Q′, Lind., Mack. – ἐκ (διὰ J) βρ. vulg. – ἐς τὴν κεφαλὴν FGIJK. — [11] τε pro τὸ J. — [12] βιαζόμενον J. – πίῃ ἢ φάγῃ H. – ἢ πίῃ om. FGIJK. – ὁ ἄνθρωπος HP′Q′v. – ὁ ἄνθ. om.

cultivés, et leur ont fait porter des fruits selon leur graine respective. En effet, l'humeur semblable puise à la terre l'humeur semblable; d'où, croissance et nourriture; et, aucun végétal ne tirant de la terre une humeur ni égale ni semblable, aucun non plus ne ressemble à l'autre. Chacune des productions terrestres employées en aliment et en boisson prend pour soi à la terre beaucoup de qualités; dans tout, en effet, il y a quelque chose de phlegmatique et de sanguin. J'ai mis l'exemple de cette condition nécessaire à côté de celui du corps, qui, des aliments et des boissons reçus dans le ventre, attire aux sources que j'ai nommées l'humeur semblable par la semblable, à travers les veines.

35. (*Origine du phlegme dans le corps; causes de l'augmentation de cette humeur.*) Je vais indiquer un autre signe montrant que chaque chose tire de la façon susdite, et en même temps je dirai d'où le phlegme vient dans le corps. Quand on a mangé soit du fromage, soit quelque aliment âcre, ou qu'on a mangé ou bu quelque autre chose phlegmatique, aussitôt cela revient à la bouche et aux narines; c'est un fait dont nous sommes tous témoins. Et en voici la cause, sans doute : Je dis que ce qu'il y a de phlegmatique dans l'aliment ou la boisson, allant au ventre, est attiré, partie par le corps, partie par la tête qui, creuse et superposée comme une ventouse, pompe le phlegme qui est visqueux. Le phlegme suit de proche en proche jusqu'à la tête. Le nouveau phlegme, celui qui est le produit de l'aliment, demeure dans la tête; mais l'ancien, justement en proportion de la quantité du nouveau, sort par la pression qu'il en éprouve; et c'est pourquoi, quand on a mangé ou bu quelque chose de phlegmatique, on crache du phlegme. Voici encore ce qui arrive : Si, après avoir mangé ou bu quelque chose de phlegmatique, il ne sort pas du phlegme, d'autant plus qu'il s'en est fait davantage, par la bouche ou par les narines, nécessairement ce phlegme restera dans la tête, ou ira de la

vulg. – ἐξέλθοι vulg. – Les Hippocratiques mettent, on peut dire constamment, le subj. avec ἤν.

στόμα μήτε κατὰ τὰς ῥῖνας, ἀνάγκη [1]ἐστὶ μένειν αὐτὸ ἐν τῇ κεφαλῇ, ἢ ἐς τὸ σῶμα κατελθεῖν ἀπὸ τῆς κεφαλῆς [2]ἢ ἐς τὴν κοιλίην ἀφικέσθαι. Καὶ ἄριστον ἂν συμβαίνοι, εἰ ἐς τὴν κοιλίην ἀφίκοιτο· ἐξέλθοι γὰρ ἂν σὺν τῇ κόπρῳ· εἰ μὲν πολλὸν εἴη καὶ ὑγρὸν, ὑγρήνειε τὴν κόπρον· εἰ δὲ ὀλίγον, οὐκ ἂν ποιήσειεν. Εἰ δὲ ἐν τῇ κεφαλῇ [3]μείνειε, πολλὸν ἂν πόνον παράσχοι τῇ κεφαλῇ, ἐν τῇσι φλεψὶν ἐόν· εἰ δὲ ὀλίγον, οὐκ ἂν ποιήσειε τοῦτο· ἐπισημήνοι δ' [4]ἂν ἢ πλέον ἢ ἔλασσον. Ἢν δὲ ἐς τὸ σῶμα ἀφίκηται, κεῖσέ οἱ μέμικται τῇ ἄλλῃ ἰχμάδι· κὴν μὲν πολλὸν ἔῃ τὸ φλέγμα, [5]ἐσάσσειεν ἂν ἐς τὸ σῶμα αὐτίκα· ἢν δὲ ὀλίγον, οὐκ ἂν ἐσάσσειεν, ἅτε μέγα τὸ σῶμα ἐὸν, εἰ μή τις οἱ ἀρχὴ ὑπολείποιτο καὶ ἄλλη· χρόνῳ δὲ ἢν μὲν ἕτερον ἐπιγένηται φλέγμα, [6]σίνοιτο ἄν· ἢν δὲ τὸ σῶμα τῇ κύστει καὶ τῇ κοιλίῃ διαφέρῃ, καὶ ταῦτα ἔξω διοίσῃ, οὐδὲν ἂν κακὸν ἐξ αὐτέου σχοίη. Ἐν τούτῳ μὲν οὖν τῷ λόγῳ ἀποπέφανται ὅκως ἡ κεφαλὴ ἐκ τῆς κοιλίης φλέγμα [7]ἕλκει, τό τε ὅμοιον ἔρχεται πρὸς τὸ ὅμοιον, καὶ ἅμα εἴρηταί μοι ὅκως τε καὶ διότι πλεῖον γίνεται [8]τῷ ἀνθρώπῳ ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν.

36. Νῦν [9]δὲ ἐρέω περὶ χολῆς, ὅκως τε καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι, καὶ ὅκως ἕλκει τὸ χωρίον αὐτέην, τὸ ἐπὶ τοῦ ἥπατος. Ἔχει δὲ οὕτως· ἐπὴν φάγῃ καὶ πίῃ ὁ ἄνθρωπος ὅ τι ἐστὶ πικρὸν [10]ἢ ἄλλως χολῶδες καὶ κοῦφον, [11]καὶ πλείων ἡ χολὴ γίνηται ἐπὶ τῷ ἥπατι, αὐτίκα ἀλγέει τὸ ἧπαρ, ὅπερ οἱ παῖδες καρδίην καλέουσι, καὶ τοῦτο ἐσείδομεν γινόμενον, καὶ ἐμφανὲς ἡμῖν ἐστιν ὅτι ἀπὸ τοῦ βρώματος ἢ τοῦ ποτοῦ ἐγίνετο. Ἕλκει μὲν γὰρ τὸ σῶμα ἐς ἑωυτὸ ἀπὸ τῶν βρωμάτων τὴν πᾶσαν ἰχμάδα τὴν εἰρημένην· ἕλκει δὲ καὶ τὸ χωρίον [12]τὸ ἐπὶ τῷ ἥπατι ἐς ἑωυτὸ ὅ τι ἂν αὐτόθι οἱ χολῶδες ἐνῇ, καὶ ἢν ἐξαπίνης πολλὴ γένηται [13]ἡ χολὴ, ὀδυνᾶται τὸ ἧπαρ ὁ ἄνθρωπος, καὶ ἀπὸ τῆς νηδύος [14]πλέον γίνεται· τούτου γὰρ

[1] Αὐτό ἐστι μένειν K. – ἐλθεῖν (E, al. manu κατ) Hν. — [2] ἢ EHP'Q', Lind. – καὶ pro ἢ vulg. – συμβαίνῃ FGHIJK, Ald., Frob., Foes, Lind., Mack. – συμβαίνοι E. – συμβαίῃ de Kühn est sans autorité. – κόπρη (sic) K. – [καὶ] εἰ μὲν Lind. – καὶ ὑγρὸν om. ν. – ὑγρὸν om., restit. al. manu H. — [3] μείνοιε GIJ. – τοῖσι J. — [4] Post ἂν addunt τις EP'Q'ν. – δ' ἐς EH. — [5] ἐσάσειεν (bis) vulg. – ἢν ἐς H. – ἐς sine ἂν vulg. – ἂν sine ἐς Lind., Mack. – ἢν dans certains de nos mss. se trouve plus d'une fois pour ἂν. — [6] σινοίατο vulg. – σίνοιτο Mack ex Æm. Porto. – κύστη G. – διαφέρῃ EGHIJK, Ald., Frob. – διαφέρει vulg. – διοίσοι EH. – κακίον Ald. – αὐτοῦ EH. — [7] ἕλκει EHJK. – ἕλκῃ vulg. – τό τε δὲ FGIJ. – ἔρχηται Lind. – πλείων K. — [8] τῶ E. – τῷ om. vulg. — [9] δ' EH. –

tête soit dans le corps, soit dans le ventre. Le mieux serait dans le ventre; car il sortirait avec les excréments. S'il était abondant et humide, il humecterait les excréments; s'il était en petite quantité, il n'exercerait pas cette action. Mais, s'il restait dans la tête, il y causerait beaucoup de souffrances, étant dans les veines; s'il était en petite quantité, il n'exercerait pas cette action, pourtant il donnerait plus ou moins signe de sa présence. S'il va dans le corps, là il se mêle au reste de l'humeur; s'il est abondant, il se fera sentir aussitôt; s'il est en petite quantité, il ne se fera pas sentir, vu la grosseur du corps, à moins qu'il n'y eût dès auparavant un autre principe de maladie; mais, au bout de quelque temps, si du nouveau phlegme arrive, il causera quelque lésion. Dans le cas où le corps le transmet à la vessie et au ventre, et que ces parties l'expulsent, il n'en résulte aucun mal. Ainsi, ces détails montrent comment la tête puise le phlegme dans le ventre, le semblable allant au semblable; et en même temps j'ai dit comment et pourquoi il s'augmente dans l'homme par les aliments et les boissons.

36. (*Origine de la bile dans le corps; causes de l'augmentation de cette humeur. La bile a son siége dans la vésicule hépatique.*) Maintenant, je vais parler de la bile, comment et pourquoi elle s'augmente dans le corps, et comment l'attire le réservoir qui est au foie. Voici ce qu'il en est : Quand on a mangé ou bu quelque chose d'amer, ou, en général, quelque chose de bilieux et de léger, et que la bile devient plus abondante au foie, aussitôt on soufre dans le foie, que les enfants nomment cœur (*cardia*). Nous sommes témoins de ce fait, et il nous est manifeste que cela provient de l'aliment ou de la boisson. En effet, d'une part, le corps attire à soi, hors des aliments, toute l'humeur susdite; d'autre part, le réservoir qui est au foie at-

ὅπως EH. – ἕλκει EHJK. – ἕλκῃ vulg. — [10] ἢ E. – καὶ pro ἢ vulg. — [11] πλείων (πλεῖον H) καὶ ἡ χ. γίνεται ἐπὶ (ἐν EP'Q', Mack) τῷ ἤ., καὶ αὐτίκα vulg. – Je pense qu'il faut lire καὶ πλείων, γίνηται, et supprimer le καὶ devant αὐτίκα. – καρδιαλγίην legendum censet Askew ap. Mack. – ἐσείδομεν EGHIJK, Ald. – εἰσείδ. vulg. – ἐμφανέες GJ. – ἐς EH, Lind. – εἰς vulg. — [12] τῷ J. — [13] ἡ om., restit. al. manu H. – νηδῦος E. — [14] πλέων Mack.

γινομένου, ἔρχεται ἀπὸ τῆς παλαιῆς χολῆς διὰ τὴν πληθὺν ἐς τὴν κοιλίην, καὶ στρόφος ἐκ τούτου τῇ κοιλίῃ γίνεται, καὶ [1]ἐξέρχεται ἐξ αὐτέης τὸ μὲν κατὰ τὴν κύστιν, τὸ δὲ κατὰ τὴν κοιλίην, καὶ οὕτως ἐλάχιστον ἐς τὸν ἄνθρωπον γίνεται, καὶ παύονται οἱ πόνοι. Ἢν δὲ τούτων μηδέτερον γένηται, χωρέει τὸ πρῶτον ἀπὸ τῆς παλαιῆς ἐς τὸ σῶμα, διαδίδοται γὰρ ἐς αὐτό· κἢν μὲν [2]πολλὴ ἔῃ, αὐτίκα ἐπισημαίνει μιχθεῖσα τῷ ἄλλῳ ὑγρῷ· ἢν δὲ ὀλίγη, οὐκ ἂν ἐσάσσειεν, ἅτε μέγα τὸ σῶμα ἐὸν, ἢν μή τις καὶ ἄλλη ἀρχὴ ὑπογένηται· χρόνῳ δὲ ἢν μὲν ἑτέρη χολὴ [3]ἐπιγένηται, πλείω σίνεται τὸν ἄνθρωπον· ἢν δὲ μὴ ἐπιγένηται, διηθήσειεν ἂν τὸ σῶμα, ὥστε τὴν χολὴν προϊέναι, ἅσσα [4]τέ ἐστι χολώδεα. Ἕτερα γὰρ τῶν ἑτέρων τὰ ἐσθιόμενα καὶ πινόμενα φάρμακά ἐστιν· οὕτω [5]δὴ καὶ τὰ ἄλλα ὁκόσα σινεόμενά ἐστιν, ὑφ' ἑτέρου ἕτερον ἐσπεσὸν ἐς τὴν κοιλίην, [6]τῇ ἑωυτοῦ δυνάμει τὸ αἰτίην ἔχον διηθέεται ἔξω, καὶ ἀσινὲς τοῦτο. Ἐπὴν [7]δὲ ἐπιγένηται ἄλλη χολὴ ἐν τῷ σώματι ἀπὸ τῶν ἐς τὴν κοιλίην πιπτόντων, νόσος ἐντεῦθεν γίνεται. Ἐν [8]τούτῳ δὲ ἐγὼ ἐπεσήμηνον, ὅκως ἡ χολὴ καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν, καὶ ὅτι ἕλκει ἐς ἑωυτὸ [9]τὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι κατὰ τὸ ὅμοιον τὸ χολῶδες ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν.

37. Νῦν [10]δὲ ἐρέω περὶ ὕδρωπος, ὥς τε καὶ διὰ τί πλείων γίνεται ἐν τῷ σώματι, καὶ ὅκως ἕλκει ὁ σπλὴν ἐς ἑωυτόν. Φημὶ δὲ, ἐπὴν ὁ ἄνθρωπος πίνῃ πλέον, [11]ἕλκειν ἐς ἑωυτὸν ἐκ τῆς κοιλίης τοῦ ὕδατος καὶ τὸ σῶμα καὶ τὸν σπλῆνα, καὶ, ἢν πλέον εἰρύσῃ τοῦ καιροῦ, πονέειν αὐτίκα τὸν ἄνθρωπον, καὶ τοῦτο [12]ἐσαΐουσι γινόμενον

[1] Ἐσέρχεται, al. manu ἐξέρ. H. – ἐξ EFGHIJK, Merc. in marg., Lind., Mack. – ἐξ om. vulg. — [2] πουλὺ (πολὺ IJK) vulg. – πολλὴ EH. – ἐσάσειεν vulg. – μετὰ pro μέγα (E, in marg. al. manu μέγα) GJK. — [3] ὑπογένηται (H, al. manu ἐπι) v. – φθίνηται pro σίνεται (G, supra lin. φθείρει) I, Ald. – φθίνει, al. manu φθίνεται H. – φθίνεται EKv. – φθίνη J. — [4] δὲ vulg. – τε LK', Lind., Mack. – Correction qui paraît fort bonne. – καὶ πιν. om. FGIJK. — [5] δὲ EHP'. – εἰσπεσὸν E. – ἐσπεσὼν J. – σινεόμενα φάρμακά ἐστιν vulg. – J'ai supprimé φάρμακα, qui me paraît nuire au sens et provenir de la répétition du φάρμακα précédent. — [6] τῇ ἑωυτοῦ δυνάμει, αἰτίην ἔχον τὸ κρατηθὲν ἔξω (ἔξωθεν K'; ἐξωθεῖν Mack; προϊέναι vel ὠθέειν supplendum censet Foes) καὶ σινέεται τοῦτο (τοῦτον EHIJK) vulg. – Tâchant de me guider par le sens dans cette phrase altérée, je déplace τὸ, et lis διηθέεται au lieu de κρατηθὲν, et ἀσινὲς au lieu de σινέεται. Comp. p. 556, l. 5 : τὰ δὲ διηθέει ἔξω, καὶ ἀσινέες γίνονται. — [7] δ' EH. — [8] τοῦτο J. – ἐπεσήμαινον Mack ex Æm. Porto. – διεσήμηνον HKLQ'v, Lind. – La correction d'Æm. Portus paraît bonne;

tire à soi ce qui y est bilieux. Et si beaucoup de bile se fait tout à coup, on souffre dans le foie, et le ventre rend plus de bile; car, les choses étant ainsi, la surabondance fait que de la vieille bile s'épanche dans le ventre, il en résulte des tranchées, et une portion est évacuée par la vessie, une portion par le ventre; de la sorte, elle devient très-peu abondante, et les souffrances cessent. Si ni l'une ni l'autre de ces évacuations ne survient, d'abord il s'en va de la vieille bile dans le corps, vu les communications; si elle est abondante, elle donne aussitôt, mêlée au reste de l'humide, signe de sa présence; si elle est en petite quantité, elle ne se fait pas sentir, attendu la grosseur du corps, à moins qu'il n'y ait dès auparavant un autre principe de maladie; mais, au bout de quelque temps, s'il arrive de nouvelle bile, elle cause plus de mal; s'il n'en arrive pas, le corps la filtrera de manière à s'en débarrasser, ainsi que de ce qui est bilieux. En effet, les aliments et les boissons sont remèdes les uns des autres; et, en général, pour tout ce qui nuit, comme l'un succède à l'autre dans le ventre, ce qui cause du mal est filtré au dehors par sa propre vertu et devient inoffensif. Mais, si une nouvelle bile s'ajoute, venant des substances ingérées dans le ventre, il en résulte une maladie. Par cela, j'ai montré comment et pourquoi la bile s'augmente dans le corps par les aliments et les boissons, et que le réservoir qui est au foie attire à soi, par la similitude, la partie bilieuse des aliments et des boissons.

37. (*Origine de l'eau dans le corps; causes de l'augmentation de cette humeur. L'eau a son siége dans la rate.*) Maintenant, je vais parler de l'eau et exposer comment et pourquoi elle s'augmente dans le corps, et comment la rate attire à soi. Je dis que, quand on boit trop, l'eau est attirée du ventre et par le corps et par la rate, et que, si elle pompe plus qu'il ne faut,

cependant les mss. sont unanimes pour l'η. — [9] τὸ EFGHIJK, Lind. – τὸ om. vulg. — [10] δ' E. – ὥστε vulg. – ὡς δὲ Mack. – πῶς τε E. – διό, τι Lind. – ἕλκει EHIJK. – ἕλκῃ vulg. — [11] ἕλκει EGHJ. – πλέον EH. – πλεῖον vulg. – τὸν ἄνθρ. αὐτίκα EH. — [12] ἐσαίσσουσι H. – ἐσαίσουσι EK, Lind.

ὁκόσοι σπληνώδεες τῶν ἀνθρώπων εἰσίν. Ἐπὴν δὲ εἰρύσῃ ὁ σπλὴν, ἄριστα μὲν, εἰ ἐν τῇ κύστει [1]διηθηθείη ἀπὸ τοῦ ὕδατος τὸ παλαιὰν τοῦ ἐνεόντος ἐν τῷ σπληνὶ ἢ τῇ κοιλίῃ, καὶ ταῦτα ἐκδιηθήσειε· κατὰ τὰ ἄνω γὰρ χωρία οὐκ ἀποκαθαίρεται τὸ ὕδωρ ἀπὸ τοῦ σπληνὸς, [2]εἰ μὴ ὁκόσον δὴ ἐν τοῖς ἀγγείοις ἐνεόν ἐστι τοῖσιν ἀπὸ τοῦ σπληνός· [3]ἀλλ' ἵα ἐστὶν ἀποκάθαρσις ἐς τὴν κοιλίην καὶ ἐς τὴν κύστιν. [4]Ἢν δὲ ταῦτα μὴ εὕροα ᾖ, μηδὲ διηθῇ ἔξω, ἀπὸ τοῦ σπληνὸς ἔρχεται τὸ ὕδωρ ἐς τὰ κάτω· κεῖθι δὲ μίσγεται τῇ ἄλλῃ ἰκμάδι· κὴν μὲν ὀλίγον ἔῃ, οὐκ ἂν [4]ἐσάσσειεν, ἀλλὰ διηθηθείη ἂν ἀπὸ τοῦ σώματος ἐς τὴν κύστιν καὶ ἐς τὴν κοιλίην διὰ φλεβῶν· εἰσὶ γὰρ ἐκ τούτου κατατείνουσαι πολλαὶ, αἳ ἕλκουσιν [5]ἐς ἑωυτὰς ἐκ τῶν κάτωθεν χωρίων, ἐπὴν ξηρότεραι γένωνται ἢ πρὶν ἦσαν. [4]Ἢν δὲ [6]γίνηται ἕτερον ὕδωρ καὶ ἡ κοιλίη καὶ ἡ κύστις μὴ διηθῇ ἔξω, ἀείρεται ὁ σπλὴν, καὶ τὰ κάτω τοῦ σώματος ἐπίπονα γίνεται. Ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι τὸ ὕδωρ [7]πλεῖον γίνεται ἐν τῷ σώματι ἀπὸ τοῦ ποτοῦ, καὶ ὅκως ὁ σπλὴν ἕλκει.

38. Νῦν [8]δὲ ἐρέω περὶ αἵματος ὅκως τε καὶ διότι πλεῖον γίνεται ἐν τῷ σώματι. Ἐπήν τι πίῃ ἢ φάγῃ ὁ ἄνθρωπος, ὅ τι ἐστὶν αἱματῶδες, ἕλκει μὲν καὶ τὸ σῶμα ἅπαν ἐς ἑωυτὸ, ἕλκει δὲ καὶ ἡ καρδίη τὸ αἱματῶδες ἐς ἑωυτὴν, καὶ ἐπὴν πλέον εἰρύσῃ, οὐ γίνεταί οἱ τῇ καρδίῃ πόνος· στερεὸν [9]γάρ τι χρῆμα καὶ πυκνόν ἐστιν ἡ καρδίη, καὶ διὰ τοῦτο οὐ πονέει, καὶ ἐξ αὐτῆς παχεῖαι φλέβες τείνουσιν αἱ σφάγιαι καλεόμεναι, ἐς ἃς ταχέως, [10]ἢν πλεῖον προσγένηται, διαδίδοται τὸ αἱματῶδες, καὶ πιμπλάμεναι κεῖναι τῇ κεφαλῇ καὶ τῷ σώματι διδόασιν ἐν τάχει, καὶ ἐπήν τι φάγῃ ἢ πίῃ, ὅ τι ἐστὶν αἱματῶδες, αὐτίκα αἱ σφάγιαι φλέβες ἀείρονται, καὶ τὸ πρόσωπον ἐρεύθει. [11]Προσγενομένου δὲ τῇ καρδίῃ καὶ τῷ σώματι τοῦ αἵματος πλεί-

[1] Διηθείη vulg. – δοθείη EFGHIJKP'Q'. – διηθέῃ Mack ex Æm. Porto. – διηθηθείη Lind. – La correction de Lind. est la bonne. — [2] εἰ EH. – ἢν vulg. – ἐννεὸν Ald. — [3] ἀλλ' οἷα vulg. – ἄλλοια E, – ἀλλοία K. – Quoique ἵα soit épique, cependant je ne puis m'empêcher de croire que c'est la véritable leçon; c'est du moins le véritable sens. Peut-être aussi οἵη conviendrait-il. — [4] ἐσάσειεν vulg. – διηθείη vulg. – διηθέῃ Mack. — [5] ἐς om., restit. al. manu E. – γένωνται E. – γίνωνται vulg. – γίνονται J, Ald., Mack. — [6] γίνηται EGH IJK. – γίνεται vulg. — [7] Ante πλ. addit τὸ J. — [8] δ' EH. – φάγῃ ἢ πίῃ K. — [9] τε γὰρ sine τι EHP'Q', Lind. – τι om. v. – Post αὐτῆς addit τῆς καρδίης Mack. — [10] Post ἢν addunt οἱ EHIJKL (P'Q', οἶνου). – καὶ ἐκεῖναι πιμπλ. EHv. — [11] προσγιν. H. – βρωμάτων J.

le sujet souffre aussitôt; ceux qui ont quelque affection de la rate s'en aperçoivent fort bien. La rate ayant pompé, le mieux est que la vieille eau qui est dans la rate soit filtrée dans la vessie ou dans le ventre, et expulsée par ces voies. En effet, l'eau de la rate ne se purge pas par les parties supérieures, si ce n'est le peu qui est dans les vaisseaux provenant de la rate; et la seule purgation est par le ventre et la vessie. Mais, si ces voies ne sont pas libres et qu'il n'y ait pas filtration, l'eau va de la rate dans les parties inférieures, et là se mêle au reste de l'humeur; si elle est en petite quantité, elle ne se fait pas sentir, mais elle est filtrée hors du corps, dans la vessie et dans le ventre, par les veines; car il y a beaucoup de veines, venant du corps, qui, devenues plus sèches qu'elles n'étaient auparavant, puisent dans les parties inférieures. Mais, si une nouvelle eau est produite, et que le ventre et la vessie ne l'expulsent pas, la rate se gonfle, et les parties inférieures du corps deviennent douloureuses. Voilà mon explication comment et pourquoi l'eau s'augmente dans le corps par la boisson, et comment la rate attire.

38. (*Origine du sang dans le corps; causes de l'augmentation de cette humeur. Le sang a son siége dans le cœur. Hypothèse sur le cœur, laquelle conduit à croire que cet organe ne peut pas être malade. Une telle opinion paraît avoir prévalu dans l'antiquité et avoir beaucoup entravé la pathologie du cœur.*) Maintenant, je vais dire comment et pourquoi le sang s'augmente dans le corps. Quand on boit ou mange quelque chose de sanguin, cela est attiré d'un côté par le corps tout entier, de l'autre par le cœur. Ayant abondamment tiré, le cœur ne devient pas douloureux, car c'est une chose solide et dense que le cœur, et c'est pourquoi il ne souffre pas. De plus, il en part de grosses veines, les veines dites jugulaires, où passe promptement l'humeur sanguine, si elle est trop abondante; remplies, ces veines transmettent tout de suite à la tête et au corps, de sorte qu'à peine a-t-on mangé ou bu quelque chose de sanguin, que les veines jugulaires se gonflent et que le vi-

ονος τοῦ ἱκανοῦ ἀπὸ τῶν βρωτῶν καὶ [1]τῶν ποτῶν καὶ μισγομένου τῷ ἄλλῳ ὑγρῷ, ἢν μὴ ἀπ' αὐτοῦ ἐξέλθῃ κατὰ τὴν κοιλίην ἢ κατὰ τὴν κύστιν, μιγὲν τῇ ἄλλῃ ἰκμάδι ἐν τῷ σώματι πόνον παρέχει· ἢν δὲ ὀλίγον προσγένηται, οὐκ [2]ἐσάσσειεν ἂν ἐς τὸ σῶμα, χρόνῳ δὲ διαδίδοται ἀπ' αὐτοῦ ἐς τὴν κοιλίην ἢ κατὰ τὰς ῥῖνας, τὰ δὲ διηθέει ἔξω καὶ ἀσινέες γίνονται· ἢν [3]δὲ ἐξ ὀλίγου πλέον γένηται, ἐπίνοσον γίνεται. Ὅκως δὲ πλέον τὸ αἷμα γίνεται, ἡρμήνευταί μοι. [4]Τέσσαρα ἐόντα τό τε αἷμα καὶ ἡ χολὴ καὶ τὸ φλέγμα καὶ ὁ ὕδρωψ, ἀποπέφανται ταῦτα πάντα ὅκως τε καὶ διότι πλεῖον γίνεται ἐν τῷ σώματι ἀπὸ τῶν βρωτῶν καὶ [5]τῶν ποτῶν. Ὅτι δὲ γίνεται ἀπὸ τούτων, σημήϊον τόδε ἐστίν· εἰ ὁ ἄνθρωπος ὀλίγα ἐσθίει καὶ ὀλίγα πίνει, οὐδεμίαν τοῦτο νοῦσον ἐπάγει. [6]Καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται· παρέψυκται δέ μοι δηλῶσαι τῷ συνετῷ καὶ ὅκως ταῦτα ἐλάσσονα γίνεται· δηλώσω δὲ περὶ αὐτοῦ κάλλιον ὀλίγῳ ὕστερον.

39. Τὰς δὲ πηγὰς ἃς ὠνόμασα, αὗται τῷ σώματι, ὁκόταν [7]πλήρεες ἔωσιν, ἀεὶ ἐπιδιδόασιν· ὁκόταν δὲ κεναὶ περιίστανται, ἀπ' αὐτοῦ· οὕτω δὲ [8]καὶ ἡ κοιλίη ποιέει. Ἔχει γὰρ οὕτως ὥσπερ εἴ τις ἐς χαλκεῖα τρία καὶ πλείονα ὕδωρ ἐγχέας καὶ συνθεὶς ὡς ἐπὶ ὁμαλωτάτου χωρίου καὶ συναρμόσας ὡς κάλλιστα [9]διαθείη, αὐλοὺς ἐναρμόσας ἐς τὰ τρυπήματα, καὶ ἐγχέοι ἡσυχῇ ἐς ἓν τῶν χαλκείων ὕδωρ μέχρις οὗ ἐμπλησθῇ ἀπὸ τοῦ ὕδατος πάντα· ἀπὸ γὰρ τοῦ ἑνὸς ῥεύσεται ἐς τὰ [10]ἕτερα χαλκεῖα μέχρις ὅτου καὶ τὰ ἄλλα ἐμπλησθῇ· ἐπὴν δὲ πλήρεα γένηται τὰ χαλκεῖα, ἤν τις ἀπὸ τοῦ ἑνὸς [11]ἀπαρύσῃ τοῦ ὕδατος, ἀνταποδώσειεν ὀπίσω

[1] Τῶν om. E. – μιγὲν GHJK, Ald., Lind. – μισγὲν vulg. — [2] ἐσάσειεν vulg. – ἐάσειεν K. – ἐς om. vulg. – Il faut ἐς, comme le montrent les phrases parallèles. — [3] δ' EH. — [4] τέσσαρα δὲ K', Lind., Mack. – δὲ pro τε EGHIJ, Ald. – τε om. K. – ὕδροψ IK. – πλείων K. — [5] τῶν om. E. – σημήϊον P'Q', Lind. – σημεῖον vulg. – ὁ EP'Q', Mack. – ὁ om. vulg. – ἐσθίοι EHIJ. – ἐσθίῃ K. – πίνοι EHIJK. – τοῦτο EK', Mack. – τούτῳ (τ. om. GIJK) vulg. — [6] καὶ om. K. — [7] πλῆρες J. – ἐῶσιν IJ. – εἰῶσιν Ald. – Il faudrait περιιστῶνται, le subjonctif, comme pour ἔωσιν. — [8] καὶ om. v. – ἐς EH, Lind. – εἰς vulg. – ἐχχέας EG (H, al. manu) IJ. — [9] διαθέει, al. manu διαθείη H. – ἐπιδιαθείη E P'Q'v, Lind., Mack. – ἐγχέῃ vulg. – ἐγχέει H. – ἐγχέοι E. – ἐμπλησθῇ EH. – πλησθῇ vulg. — [10] ἕτερα EH. – λοιπὰ vulg. – μέχρις.... χαλκεῖα om. G. – τἄλλα IJK. – ἐμπλησθῇ v, Mack. – πλησθῇ vulg. – γίνεται IJ. — [11] ἀπαρρύσῃ G. – ἀποῤῥύσῃ Ald. – ἀπὸ τοῦ ὕδατος v. – ἀνταποδώσει ἂν Mack ex Æm. Porto. – ἐς EH, Lind. – εἰς vulg. – ἓν EFGHIJ, Ald. – ἓν om. vulg. – πάλιν om. (H, restit. al. manu) v. – ἐδέξαντο F (H, al. manu) IJ.

sage rougit. Donc, le sang, étant venu des aliments et des boissons plus copieusement qu'il ne faut au cœur et au corps, et s'étant mêlé au reste de l'humide, si une portion ne s'en va pas par le ventre ou par la vessie, le sang, dis-je, mélangé au reste de l'humeur, cause de la souffrance dans le corps. S'il en vient peu, il ne se fait pas sentir; petit à petit, il en passe par le ventre ou par les narines, qui l'expulsent, et il n'en résulte aucun mal. Mais, si de peu abondant il devient trop abondant, le sujet est pris de maladie. Voilà mon interprétation de la surabondance du sang. Les quatre humeurs, sang, bile, phlegme et eau, j'ai démontré comment et pourquoi toutes s'augmentent dans le corps par les aliments et les boissons. Que cet excès provienne des aliments et des boissons, en voici la preuve : manger peu et boire peu n'engendre aucune maladie. Voilà ce que j'avais à dire là-dessus; et même, pour un homme intelligent, j'ai implicitement aussi fait voir comment ces humeurs diminuent; au reste, un peu plus loin, j'entrerai dans de plus amples explications à ce sujet.

39. (*Va-et-vient entre le corps et les sources. Comparaison de cette disposition avec un arrangement de vases qui communiqueraient entre eux par des tuyaux; il suffirait, pour les emplir ou les vider tous, d'en emplir ou d'en vider un seul. Usage que l'auteur fait de ces prétendues sources, pour expliquer comment parfois nous désirons un aliment ou une boisson particulière.*) Les sources que j'ai nommées, fournissent continuellement au corps, quand elles sont pleines; mais, quand elles sont vides, elles y puisent; autant en fait le ventre. C'est en effet comme si on versait de l'eau en trois chaudrons ou plus, mis sur un plan parfaitement uni, disposés de la façon la plus commode, percés et munis de tuyaux à l'endroit des pertuis; l'eau, versée doucement dans l'un des chaudrons, ira les emplir tous; en effet, elle coulera de l'un dans les autres jusqu'à ce que tous soient emplis. Et réciproquement, les chaudrons étant pleins, si l'on ôte de l'eau à l'un, l'eau reviendra dans celui-ci, et les chaudrons se videront comme ils s'étaient emplis. Il

ῥέον τὸ ὕδωρ ἐς τὸ ἓν χαλκεῖον, καὶ κενεὰ ἔσται τὰ χαλκεῖα πάλιν ὥσπερ καὶ ἐδέξατο. Οὕτω [1] δὴ καὶ ἐν τῷ σώματι ἔχει· ἐπὴν γὰρ ἐς τὴν κοιλίην πέσῃ τὰ βρώματα καὶ τὰ ποτὰ, [2] ἐπαυρίσκεται τὸ σῶμα ἀπὸ τῆς κοιλίης καὶ πληροῦται σὺν τῇσι πηγῇσιν· ἐπὴν δὲ ἡ [3] κοιλίη κενῶται, ἀποδίδοται αὖθις ὀπίσω ἡ ἰκμὰς, ὥσπερ καὶ ἐπεδέξατο ἐκ τῶν ἄλλων τὸ ἓν χαλκεῖον. Φλέβες τε γάρ εἰσι διὰ παντὸς τοῦ σώματος τείνουσαι, αἱ μὲν λεπτότεραι, αἱ δὲ παχύτεραι, πολλαὶ καὶ πυκναί· αὗται δὲ, μέχρις οὗ ἂν [4] ζώῃ ὁ ἄνθρωπος, ἀνεῴγασι καὶ δέχονταί τε καὶ ἀφιᾶσι νέον ὑγρόν· ἐπὴν δὲ ἀποθάνῃ, συμμύουσι καὶ γίνονται λεπταί. Μέχρι [5] μὲν οὖν ζώῃ ὁ ἄνθρωπος, ἐπαυρίσκεται μὲν τὸ σῶμα ἀπὸ τῆς κοιλίης, ἐπήν τι ἔχῃ ἐν ἑωυτῇ· ἐπαυρίσκονται δὲ αἱ πηγαὶ καὶ πιμπλάμεναι διαδιδόασι τῷ σώματι· εἰ γὰρ τὸ σῶμα μὴ [6] ἕλκοι ἀπὸ τῆς ἰκμάδος τῆς κοιλίης, ἀλλ' αἱ πηγαὶ μόναι, ἢ ἐς τὸ σῶμα μὴ ἐδίδοσαν, οὐκ ἂν εἶχε τὸ σῶμα τροφὴν ἀρκέουσαν, [7] ἀλλὰ ἐλάσσονα· οὐ γὰρ ἂν ἔτι εἶχον τῷ σώματι τὴν τροφὴν διεκδιδοῦσαι πηγαί. Αἱ δὲ πηγαὶ αὗται εἰ μὴ ἦσαν, ἐσθίοντες ἂν καὶ πίνοντες οὐκ ἂν διεγινώσκομεν ἀτρεκέως, οὔτε ὅ τι ἡδύ ἐστιν οὔτε ὅ τι ἀηδὲς, κατὰ ἀνάγκην τοιήνδε [8] ἣν μέλλω ἐρέειν. Ταῦτα τὰ χωρία, ἅτε μικρότερα ἐόντα καὶ ἔνδοθεν τοῦ ἄλλου σώματος, ἀεὶ καὶ πρὸ τοῦ ἐσάσσαι ἕκαστον κατὰ τὴν ἑωυτοῦ δύναμιν ἑρμηνεύει τῷ ἄλλῳ σώματι τῶν ἐσθιομένων καὶ πινομένων [9] ὅ τι χολῶδές ἐστι καὶ ὅ τι φλεγματῶδες καὶ ὅ τι αἱματῶδες καὶ ὅ τι ὑδρωποειδές. Τούτων γὰρ ἡμῖν ὅ τι [10] ἂν ἑκάστου πλεῖον τοῦ καιροῦ [11] γίνηται καὶ ἐν τοῖσι ποτοῖσι καὶ ἐν τοῖσι βρωτοῖσι, κεῖνα οὐδὲ ἡδέα γίνεται· ἅσσα δὲ χατίζει μάλιστα κατὰ ταῦτα, κεῖνα ἡδέα ἐστίν. [12] Εἰ δὲ βρωτῶν καὶ ποτῶν ἐνδεήσεται τῶν πηγέων τις, κατὰ τοῦτο καὶ τὸ σῶμα ἕλκύσει ἀπ' αὐτέων τέως καὶ τὸ ὑγρὸν ἔλασσον τοῦ καιροῦ γένηται· τότε ἱμείρεται [13] ὁ ἄνθρωπος ἢ φαγέειν ἢ πιέειν τοιοῦτον, ὅ

[1] Δὲ EH. – τὴν FGIJ, Demetrius Pep. in cit. de Pod., XIV. – τὴν om. vulg. — [2] ἀπ. ν. – κοιλίης EHIJK. – κοιλίας vulg. — [3] κοιλία G. – κενοῦται FG HIJKν, Ald. – καὶ ἀποδίδ. K. – ἐπεδέξατο ὡς ἐκ τῶν ἄλλων ἐς τὸ vulg. – Le sens me paraît exiger la suppression de ὡς et de ἐς. – ἓν om. K. — [4] ζώει G, Ald., Frob. – ἀνεώγασι.... ἄνθρωπος om. K. – καὶ δέχονται καὶ ἀφιᾶσί (addit παλαιόν Lind.) τε καὶ (τὸ pro τε καὶ K′) νέον ὑγρὸν vulg. – Je pense qu'il n'y a que τε καὶ à déplacer. — [5] δὲ pro μὲν οὖν EHν. – ἀπαυρ. ν. – τις pro τι HIJ. — [6] ἕλκοι HK. – ἕλκει GIJ. – ἕλκῃ vulg. – καὶ ἐς τὸ vulg. – Je lis ἤ. – διεδίδοσαν pro μὴ ἐδίδοσαν K′. — [7] ἀλλ' E. – τὴν om., restit. al. manu E. — [8] οἵην EH. – ἐσάσαι vulg. – ἐᾶσαι EK. – ἐσάξαι K′. — [9] ὅ τί τε vulg. – τε om. HK. – καὶ ὅ τι φλ. om., restit. al. manu E. – ὑδροποιειδὲς IK. — [10] ἂν om.

en est de même dans le corps; les aliments et les boissons étant arrivés dans le ventre, le corps puise dans le ventre et se remplit ainsi que les sources; mais, quand le ventre se vide, l'humeur y retourne par un mouvement inverse, de même que le chaudron où l'on puisait reçut l'eau des autres. Il y a en effet des veines s'étendant par tout le corps, les unes plus menues, les autres plus grosses, nombreuses et rapprochées; ces veines, tant que dure la vie, sont ouvertes, recevant et émettant un nouveau liquide; après la mort, elles se ferment et deviennent menues. Donc, tant que l'homme est en vie, le corps puise dans le ventre, quand le ventre contient quelque chose; les sources y puisent aussi, et, remplies, distribuent dans le corps ce qu'elles ont puisé. En effet, si le corps ne puisait pas à l'humeur qui est dans le ventre et que ce fussent les sources seules, ou qu'elles ne fissent pas de distribution au corps, celui-ci ne trouverait pas une nourriture suffisante; car il n'y aurait plus de nourriture fournie au corps par les sources. Quant à ces sources, si elles n'existaient pas, nous ne distinguerions pas bien, en mangeant et en buvant, ni ce qui est agréable, ni ce qui est désagréable. Je vais en dire la raison nécessaire : ces réservoirs, étant assez petits et placés à l'intérieur du corps, signalent toujours et avant toute réplétion au corps entier, chacun suivant sa vertu propre, ce qui, dans les aliments et les boissons, est bilieux, phlegmatique, sanguin, aqueux. En effet, quelle que soit celle de ces humeurs qui surabonde dans notre boire et notre manger, celle-là cesse d'être agréable; mais celle qui y fait surtout défaut est agréable. Si l'une des sources a besoin d'aliments et de boissons, alors aussi le corps puisera dans ces aliments et boissons jusqu'à ce que le liquide devienne moindre qu'il ne faut; à ce moment on éprouve le désir de manger ou de boire ce qui comblera ce vide et mettra les choses de ni-

J.— [11] γίνηται EGIJ. – γένηται K. – γίνεται vulg. – καὶ ἐν τ. βρ. καὶ ἐν τ. π. K. – ἐκεῖνα FGJK, Ald. — [12] εἰ EHIKP'Q'. – ἦν vulg. – βρωμάτων Lind. – ποτῶν καὶ βρωτῶν H. – πηγαίων EHI. — [13] ὁ E. – ὁ om. vulg. – ἐπιπλήσσει K. – ἢ.... ἱμειρόμεθα om. J.

τι τὴν μοίρην ἐκείνην ἐπιπλήσει καὶ ἰσώσει τῇσιν ἄλλῃσι· καὶ διὰ τοῦτο βεβρωκότες πολλὰ ἢ πεπωκότες, ἔστιν [1]ὅτε ἱμειρόμεθα ἢ βρωτοῦ ἢ ποτοῦ, καὶ ἄλλο οὐδὲν ἂν ἡδέως φάγοιμεν, εἰ μὴ ὅ τι ἱμειρόμεθα· ἐπὴν δὲ [2]φάγωμεν καὶ ἰσωθῇ ἡ ἰκμὰς κατὰ τὰ ἀνυστὰ ἐν τῇσι πηγῇσι καὶ ἐν τῷ σώματι, τότε οἱ πέπαυται ὁ ἵμερος. Καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται.

40. Ἔχει δὲ καὶ τόδε, ὅτι ἐς μὲν τὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν ἀποκρίνεται ἡ χολὴ [3]μοῦνον· τὰ γὰρ φλέβια ἀσθενέα καὶ λεπτὰ ὑπάρχοντα οὐ δύναται ἕλκειν τὴν ἄλλην ἰκμάδα παχυτέρην καὶ βαρυτέρην ἐοῦσαν, καὶ ἅμα εὐρυχωρίη οὐκ ἔστι τῇ ἄλλῃ ἰκμάδι, ὥστε ἐν τούτῳ τῷ χωρίῳ εἶναι· σύνηθές τέ ἐστι τῇ χολῇ τοῦτο τὸ χωρίον κατὰ φύσιν μάλιστα, καὶ διὰ τοῦτο ἐν αὐτῷ οὐδεμία νοῦσος γίνεται ἄλλη ἢ ἥντινα καρδιωγμὸν οἱ ἄνθρωποι καλέουσιν. Ἡ δὲ κεφαλὴ καὶ ἡ καρδίη καὶ ὁ σπλὴν μετέχουσι τῆς ἰκμάδος πάσης· [4]ἕκαστον, ἢν μή τι νοσέῃ, μετέχει πλείστων κατὰ φύσιν τὴν ἑωυτοῦ τῶν εἰρημένων, ἡ μὲν κεφαλὴ τοῦ φλέγματος, ἡ δὲ καρδίη τοῦ αἵματος, ὁ δὲ σπλὴν τοῦ ὕδατος· ἕλκουσι δὲ [5]καὶ τῆς ἄλλης ἰκμάδος αἱ φλέβες ἐς ἑωυτὰς, εὐρεῖαι καὶ παχεῖαι καὶ ἑλικοειδέες ἐοῦσαι· ὥστ' ἐπὴν [6]ἕλκωσιν, ἕπεσθαι ἕτερον ἑτέρῳ τῆς ἄλλης ἰκμάδος. Καὶ τῇ μὲν καρδίῃ πλησιάζουσιν αἱ σφάγιαι φλέβες, παχεῖαι ἐοῦσαι, ἐς ἃς διαδίδοται ταχέως, ἐπὴν οἱ πλεῖον τοῦ καιροῦ προσγένηται· αἱ δὲ τῷ ἄλλῳ σώματι [7]ἐκδιδόασι· καὶ ἅμα αὐτὴ ἡ καρδίη στερεὴ καὶ πυκνή ἐστιν, ὥστε μὴ νοσέειν ὑπὸ τῆς ἰκμάδος, καὶ διὰ τοῦτο νόσημα ἐν τῇ καρδίῃ οὐδὲν γίνεται. Ἡ δὲ κεφαλὴ καὶ ὁ σπλὴν μάλιστα ἐπίνοσά ἐστι· νοσέει γὰρ καὶ ἀπὸ τῶν φύσει ἐόντων, [8]ὅταν πλείονα προσγένηται τοῦ καιροῦ· νοσέει δὲ καὶ ἀπὸ τῆς ἄλλης ἰκμάδος· φλέβες γὰρ ἐς αὐτὰ παχεῖαί τε καὶ πολλαί εἰσι, καὶ αὐτὰ φλεβώδεα κάρτα ἐστὶ καὶ ἔγκοιλα, ὥστε εὐρυχωρίην καὶ τῇ ἄλλῃ ἰκμάδι ἐν [9]αὐτοῖσιν εἶναι, χωρεούσῃ κατ' ὀλίγον καὶ μισγομένῃ τῇ

[1] Ὅτε HIJK', Mack. – ὅ τι vulg. – πότου ἢ βρ. EHIK. — [2] φάγομεν J. – κατὰ ταῦτα ἀνυστὰ vulg. – Lisez κατὰ τὰ ἀνυστά. — [3] μοῦνον HP'Q'v. – μόνον vulg. – δύναται EH. – δύνανται vulg. – εὐριχωρίη Ald. — [4] ἕκαστον δὲ P'. – νοσέει H. – πλεῖστον E. — [5] καὶ om. G. – ἑλικ. IJ. – ὥστε EH. — [6] εἵλκωσιν Ald. – ἐοῦσαι EHIJK. – οὖσαι vulg. – διαδέδοται Ald. — [7] ἐκδιδόασι, ἅμα τῇ καρδίῃ· αὐτὴ δὲ στερεὴ Lind. – αὐτῇ J. – διὰ EFGHIJKQ', Ald., Lind., Mack. – διὰ om. vulg. — [8] ὅτε EHv. – προσγίνεται H. – προσγίνηται EIK. — [9] αὐτοῖσιν EHIJK'Q', Lind., Mack. – αὐτῇσιν vulg.

veau. C'est pour cela qu'ayant mangé ou bu beaucoup, nous désirons parfois un aliment ou une boisson, sans pouvoir prendre avec plaisir rien autre que cela même que nous désirons; et, après avoir ainsi mangé, l'humeur étant devenue égale autant que possible dans les sources et dans le corps, alors le désir s'éteint. Voilà ce que j'avais à dire là-dessus.

40. (*Il ne vient que de la bile à la vésicule hépatique. Mais les trois autres sources peuvent recevoir toutes les humeurs. Ceci a peu d'inconvénient pour le cœur, mais il n'en est pas de même pour la tête et la rate.*) C'est encore un fait que dans le réservoir qui est au foie, il ne vient, des aliments et des boissons, que de la bile; en effet, les veines, étant faibles et menues, ne peuvent tirer l'autre humeur qui est plus épaisse et plus pesante; de plus, il n'y a pas de place, en cet endroit, pour recevoir l'autre humeur; et cet endroit est habitué le plus naturellement à la bile, ce qui fait qu'aucune maladie ne s'y engendre, sauf celle qui est dite cardialgie. Mais la tête, le cœur et la rate participent à toute humeur; chacune de ces parties, en état de santé, a sans doute le plus de celle qui lui appartient naturellement, la tête de phlegme, le cœur de sang, la rate d'eau; toutefois les veines, larges, grosses et tortueuses, attirent aussi à soi une part du reste de l'humeur; de sorte que, par cette attraction, le reste de l'humeur suit de proche en proche. De plus, le cœur est avoisiné par les veines jugulaires, qui sont grosses et qui reçoivent promptement le surplus de ce qui lui arrive en excès; elles, à leur tour, le distribuent au reste du corps; ajoutez que le cœur est solide et compacte, de sorte que l'humeur ne le rend pas malade. Voilà pourquoi aucune maladie ne s'engendre dans le cœur. Mais la tête et la rate sont très-sujettes à maladie; elles s'affectent par l'humeur naturelle, quand celle-ci surabonde; elles s'affectent aussi par le reste de l'humeur; en effet, des veines grosses et nombreuses y arrivent, et elles-mêmes sont très-veineuses et creuses, de sorte qu'il y a de la place même pour le reste de l'humeur venant peu à peu et se mêlant à l'humeur naturelle. De même qu'un grand

φύσει ἐούσῃ· ὥσπερ ἐν ἀγγείῳ μεγάλῳ εὐρυχωρίη ἐστὶ πολλὴ ἢ ἐν μικρῷ, οὕτω [1]δὲ καὶ ἐν τῇ κεφαλῇ ἢ ἐν τῷ σπληνὶ ἔχει· εὐρυχωρίη γὰρ τούτων τῶν χωρίων μάλιστα ἐν αὐτοῖσίν ἐστιν· ἢν [2]δ' ἐμπλησθῶσιν ἰχμάδος αἱ φλέβες αὐτόθι, ἀπ' ἐκείνης ἐν αὐτοῖσι νοῦσος γίνεται. Ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται νῦν.

41. Ἐθέλω δὲ ἀποφῆναι κάλλιον, ὅκως ἑκάστη ταύτης τῆς ἰχμάδος ἐν τῷ σώματι ἐλάσσων γίνεται. Τέσσαρα μὲν δὴ ὑγρὰ ἐόντα [3]ἀπέδειξα τὸν ἄνθρωπον σινεόμενα, τέσσαρας δέ σφι πηγάς· τέσσαρα δέ σφι λέγω εἶναι, οἷσιν ἀποκαθαίρεται ὁ ἄνθρωπος τούτων ἕκαστον· ταῦτα δέ ἐστι τό τε στόμα καὶ αἱ ῥῖνες καὶ ὁ ἀρχὸς καὶ ἡ οὐρήθρη. Καὶ ἐπήν τις πλείων γένηται τῆς ἰχμάδος τῆς πονεούσης, ἣν ἀποκαθαίρηται ὁ ἄνθρωπος ταύτῃ, οὐδεμία [4]μιν νοῦσος πιέζει ἀπὸ ταύτης· καὶ ἢν ἡ κοιλίη [5]μὴ πλήρης ᾖ, τηκομένου τοῦ σώματος, ἀπὸ τῆς ἰχμάδος καταῤῥέει ἐς αὐτήν, καὶ ἔξω ἔρχεται κατά τι τῶν χωρίων τούτων, καὶ διὰ ταῦτα τὸ ὑγρὸν ἔλασσον γίνεται ἐν τῷ σώματι. Τὸ γὰρ σῶμα, ὥσπερ μοι καὶ πρότερον εἴρηται, τῇ κοιλίῃ ἐπιδιδοῖ, ἐπὴν κενεὴ [6]ἔῃ, καὶ ἐπαυρίσκεται, ἐπὴν πλήρης ἔῃ, ἀπ' αὐτῆς. Ταῦτα δέ μοι εἴρηται ὅκως τε καὶ διότι ἐλάσσονα [7]γίνεται τὰ πονέοντα τὸν ἄνθρωπον.

42. Ὅκως δὲ καὶ διὰ τί ὁ ἄνθρωπος ὑγιαίνει, ἐρέω. Ἐπὴν φάγῃ καὶ πίῃ καὶ ἀφίκηται ἡ ἰχμὰς [8]ἐς τὸ σῶμα, τρόπῳ ὥσπερ εἴρηται μιγεῖσα καὶ τῇ ἄλλῃ [9]τῇ ἐν τῷ σώματι καὶ τῇ [10]ἐν τῇ πηγῇ ἐούσῃ, τῇ μὲν ἡμέρῃ [11]ᾗ προσγένηται μένει ἐν τῷ σώματι, [12]τῇ δὲ ὑστεραίῃ ἄλλη οἱ ἰχμὰς προσγίνεται. Αὗται δύο μὲν ἡμέραι εἰσί· [13]δύο δὲ ἰχμάδες ἐν τῷ σώματι· τῇ μὲν ἑτέρῃ τῶν ἰχμάδων δύο ἡμέραι εἰσί, τῇ δὲ ἑτέρῃ μία. Ἡ μὲν δὴ [14]ὑστέρη μένει ἐν τῷ σώματι ἅτε παχεῖα ἐοῦσα, ἡ δὲ ἑτέρη πεφθεῖσα ὑπὸ τῆς θέρμης διακέχυται, καὶ λεπτὴ

[1] Δὴ Lind. – καὶ om. K. – τῶ EFGHIJKQ', Ald., Mack. – τῷ om. vulg. — [2] δ' ἐμπλησθῶσιν EHv. – δὲ πλησθῶσιν vulg. – αἱ φλέβες ἰχμ. E. – νόσος G. — [3] ἀπέδειξε FG, Ald. – τέσσαρας δέ σφι πηγὰς λέγω vulg. – τέσσαρας δέ σφι (σφισι E) πηγὰς τέσσαρας δέ σφι λέγω EGHIJK, Ald. – οἷσιν EGHIJK, Ald., Frob., Mack. – ᾗσιν vulg. – Je crois que la leçon des mss. est bonne, en lisant τέσσαρα au lieu du second τέσσαρας. — [4] μιν om., restit. al. manu E. — [5] μὴ om. vulg. – μὴ me paraît exigé par tout le contexte. — [6] εἴη E. — [7] γίνεται EHK. – γίνηται vulg. – γίνονται G, Ald. – ὑγιαίνει EHIK. – ὑγιαίνοι J. – ὑγιαίνῃ vulg. – ἐρέω EHIJKLP'v, Lind., Mack. – ἐρῶ vulg. — [8] εἰς IJK. — [9] καὶ τῇ vulg. – καὶ om. EH. — [10] ἐν τῇ om. FGK. — [11] ἢ J. — [12] ἐς δὲ

vase a plus de capacité qu'un petit, de même la tête et la rate en ont plus que le reste; en effet, de ces réservoirs, ce sont les plus spacieux; et si, là, les veines s'emplissent d'humeur, cette humeur y cause des maladies. Voilà ce que j'avais à dire là-dessus présentement.

